# ΝΕΟΣ ΕΛΛΗΝΟΜΝΗΜΩΝ

ΠΕΡΙΟΔΙΚΟΝ ΣΥΓΓΡΑΜΜΑ ΣΥΝΤΑΣΣΟΜΕΝΟΝ ΚΑΙ ΕΚΔΙΔΟΜΕΝΟΝ

ΥΠΟ

ΣΠΥΡ. Π. ΛΑΜΠΡΟΥ

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

## 15

## 1921

ΦΩΤΟΤΥΠΙΚΗ ΑΝΑΤΥΠΩΣΙΣ * 1969 * RÉIMPRESSION ANASTATIQUE

ΕΚΔΟΣΕΙΣ ÉDITIONS

ΒΑΣ. Ν. ΓΡΗΓΟΡΙΑΔΗΣ ★ BAS. N. GRÉGORIADÈS

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

# ΚΥΠΡΙΑΚΑ ΚΑΙ ΑΛΛΑ ΕΓΓΡΑΦΑ
# ΕΚ ΤΟΥ ΠΑΛΑΤΙΝΟΥ ΚΩΔΙΚΟΣ 367
## ΤΗΣ ΒΙΒΛΙΟΘΗΚΗΣ ΤΟΥ ΒΑΤΙΚΑΝΟΥ [1]

## **36** (φ. 117β)

Διέτριβεν ἐκτεθεὶς πρὸς Ἑλλήνων περί που τὴν Λημνίαν ἀπάνθρωπον ἔρημον Φιλοκτήτης ὁ Ποίαντος, ὃν πολλὰ πολλάκις ἐκ τῆς τοῦ Ὁμήρου διελέχθην σοι τῇ τιμίᾳ μοι κεφαλῇ καὶ αἰδεσίμῳ. Καὶ ᾤκει μὲν περὶ αὐτόροφον, ὑπετρέφετο δὲ ὅσα καὶ θήρ, ὕδωρ δὲ διήκει τοῦτον οὐκ ἀέναονν οὐδ᾽ ἀπόρρητον, ἀλλ᾽ ὄμβρου λείψανον σεσηπὸς γῆς ἐναπομεῖναν κοιλώματι, καὶ μυρίοις ὅσοις ἐπάλαιε τοῖς δεινοῖς, ἄλλως τε οὐδὲ ἀρτίπους ὤν, ἀλλὰ κατὰ γῆς ἕρπων τοῦτο δὴ τὸ μέρος, τὴν ἐκδακοῦσαν τοῦτον μιμούμενος ἔχιδναν. Ἀλλ᾽ ὅμως οὔτε τὸ τῆς τροφῆς τοῦτον ἐλύπει τοσοῦτον δυσπόριστον, οὔτε τὸ στατὸν ὕδωρ, οὔτε τὸ τῆς ἐχίδνης φόνιον χάραγμα. ἐπειδὰν δέ τις χρόνιον ἐνδημήσας προσείποι μὲν ἐκεῖνον καὶ δεξιώσαιτο καὶ ἑλληνικῆς ποθεν φωνῆς αἰσθανόμενος ὡς ἐξεστηκὼς ἐβόα

> ὦ φίλτατον φώνημα. Φεῦ τὸ καὶ λαβεῖν
> πρόσφθεγμα τοιοῦδ᾽ ἀνδρὸς ἐν χρόνῳ μακρῷ.

Τοιαῦτα γάρ, αἰδέσιμε . . . . . . . . . καὶ παμπόθητε, πάσχομεν καὶ ἡμεῖς ὡς ὁ ἥρως ἐκεῖνος. Φωνὰς γὰρ ἀκούομεν ἐκ πολλῶν μερόπων, ἡμεῖς δ᾽ ἄναυδοι καὶ ὡς φέρ᾽ εἰπεῖν ἄφωνοι καθήμενοι καὶ χεῖρα ἐπὶ στόματι ἔχοντες κατὰ τὴν παροιμίαν, ὅμως εὑρόντες ὧδε τὸ τοῦ θεοῦ δῶρον, τὸν καλὸν Θεόδωρον, τὸν ἐμοὶ κατὰ πνεῦμα φίλτατον υἱὸν καὶ

1, ἐκτεθεῖς 3. διέλέχθην σοι σὺ τῆ ἐθεσίμω ἐκ τοῦ εδεσήμω
3. ὤκει 4. ὅσα 5. οὐκαένναον 6. σῆς ὅσοις 7. ἔρπων 7. δεῖ
8. οὔτε τῆ 10. ἐπιδὰν 11. πρὸςεῖποι δεξιώσητο ἑλληνικῆς
 εἰ
12. ἐξεστηκῶς 15. Κ παμπόθητε 16. ἐκεῖνος ἀκούωμεν 17. χεῖρα ἐπιστόματι 18. παρημοῖαν. ὅμως τῶ

1. Συνέχεια ἐκ τοῦ ΙΔ´ τόμου τοῦ νέου Ἑλληνομνήμονος σ. 50.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΑΣ ΤΗΣ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

τὸν γαμβρόν, ἀναψυχήν, ἀνάπαυλαν καὶ ἀνάλωμα· ἐψυχαγώγησεν γὰρ ἡμᾶς ὅτι πολύ, ὃν Κύριος ὁ θεὸς ἀποδώσῃ ἐν ἡμέρᾳ κρίσεως. Πορευόμεθα δ' ἀρτίως πρὸς τὸ Γεάφα, θεοῦ εὐδοκοῦντος καὶ τοῦ κούντη συνεργοῦντος. Ἔκτοτε δὲ γενέσθω τοῦ θεοῦ τὸ θέλημα. Τὸν αὐθέντην τὸν αὐτάδελφόν σου πολλὰ πολλὰ πολλὰ προσκυνῶ σὺν πάσῃ τῇ κατηκόῳ αὐτοῦ ἐκκλησίᾳ ἀπὸ μικροῦ ἕως μεγάλου. Τοὺς ὑπὸ σὲ πάντας χαιρετίζω, σὲ δὲ νοερῶς σε κατασπάζομαι κατὰ Παῦλον ἁγίῳ φιλήματι. Τὸν κύριόν μου τὸν ῥῆγαν χαιρετίζω. Τὸν τίμιον γέροντα σὺν τῇ κατηκόῳ αὐτοῦ ἐκκλησίᾳ προσαγορεύω. Ἔρρωσο ἐν Κυρίῳ.

## 37 (φ. 118α)

Εὔχομαι ὡς ἀνάξιος ὑγιαίνειν σοι ψυχῇ σὺν τῷ σώματι, ὦ πεποθημένε δοῦλε Χριστοῦ καὶ ἐμὸν κατὰ πνεῦμα ποθεινότατον τέκνον καὶ ἀδελφὲ κύριε Θε, πλέον δὲ τὴν τῆς ψυχῆς ὑγείαν σοι εὔχομαι. Τὸ γὰρ σῶμα, χοῦς ὂν καὶ σποδὸς καὶ τέφρα καὶ κόνις, οὔτε τὸ ὑγιὲς αὐτοῦ μένει εἰς χρόνον πολύν, οὔτε τὸ νοσῶδες, ἀλλὰ πάντως φθαρτὸν ὑπάρχον, καὶ αὐτὰ πρὸς καιρὸν ἐπιμένουσιν. ἡ δὲ ψυχή, αἰώνιον χρῆμα καὶ ἐξαίρετον καὶ ζωηρὸν καὶ ἀθάνατον ὑπὸ τοῦ δημιουργοῦ κτισθέν, αἰωνίαν ἔχει καὶ τὴν ζωὴν καὶ ἀνάπαυσιν, ὥσπερ καὶ τὸ ἔμπαλιν. Καὶ οὐαὶ ἐμοὶ τῷ ῥαθύμῳ καὶ ἀσθενεῖ καὶ ἀμελεῖ, ὅτι, πάσας μου τὰς ἡμέρας ἐν πάσῃ ἀμελείᾳ καὶ ματαιότητι διανύσας, ἐν τῷ τέλει τοῦ βίου γυμνὸς εὑρεθήσομαι ἐκ πάσης ἀρετῆς καὶ πάντων ἀγαθῶν. Πᾶς γὰρ βροτὸς πάντως καὶ θνητός, καὶ οὐδεὶς τὸ ἀπαραίτητον ποτήριον τοῦ θανάτου φεύξεται, καὶ οἴμοι οἴμοι, πῶς ἐκείνας τὰς κολάσεις ἐκφύγω, ὅτι ἐν ῥαθυμίᾳ πάσῃ καθέζομαι. Καὶ ἐπεὶ ἐγὼ ὡς ἀμελὴς καὶ ἀδόκιμος καὶ ἄχρηστος εἰς πᾶν ἀγαθὸν πέφυκα, κἂν ἐσύ, τέκνον πεποθημένον, σπούδασον ἐν τῇ νεότητί σου καμεῖν καὶ συναγαγεῖν πρὸς σὲ πᾶσαν ἀρετὴν καὶ πρᾶξιν πνευματικὴν ὡς ἐργάτης δόκιμος Κυρίου. Ἐπεὶ γοῦν τὸν χρηστὸν καὶ ἐλαφρότατον ζυγὸν αὐτοῦ ᾑρετίσω, καὶ τὸν σταυρὸν ἐπὶ ὤμων ἦρας καὶ τῷ κόσμῳ καὶ τὰ ἐν κόσμῳ ἐξέφυγες καὶ πᾶσαν συγγένειαν κατέλιπες καὶ χρήματα καὶ δόξαν τοῦ βίου τούτου διὰ τὴν πρὸς θεὸν ἀγάπην, περίζωσε τὴν ὀσφύν σου, ἐνδυναμούμενος παρὰ Κυρίου τοῦ θεοῦ, καὶ σπεῦσον πρὸς πᾶσαν ἀγαθὴν ἐπιστήμην καὶ

2. πολλῇ 4. γενέσθαι 6. ἕως 7. παύλω φιλήματι ῥη^γ 8. κατοίκω 4. σώμα ὢν οὔτε ὑγειὲς 5. νοσώδες 6. χρήμα 9. ἀσθενῇ 10. ὦ τέλει 13. οἴμμοι οἴμμοι 14. ἐπεῒ 19. ἦρας

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ἐργασίαν πνευματικὴν μὴ μόνον ἔργῳ, ἀλλὰ καὶ τρόπῳ καὶ ἤθει καὶ γνώμῃ ἐν ἀγάπῃ καὶ ταπεινώσει καὶ λογισμοῖς καθαροῖς, ἵνα καὶ παρὰ θεοῦ τὴν ἀντάμειψιν ἐν τῇ αἰωνίῳ ἀναπαύσει εὑρήσῃς, ‖ καὶ τὸ σὸν γέ- φ.118β
νος ὑπὲρ πλέον δοξάσῃς καὶ ἄλλους πολλοὺς εἰς ὠφέλειαν καὶ μίμησιν ἄξῃς. Πᾶς γὰρ στρατιώτης ἕτοιμός ἐστι πρὸς τὸν τοῦ ἐχθροῦ πόλεμον, ὁ δὲ μήπω τῇ στρατιᾷ καταλεγεὶς μηδὲ τὰ ὅπλα ἐνδυθεὶς οὔτε μέλει αὐτῷ περὶ τῶν τοιούτων, οὐδὲ ὁ ἐχθρὸς πλησιάζει αὐτόν. Καὶ σὺ οὖν, τὰ νοητὰ ὅπλα ἐνδυσάμενος καὶ τῇ στρατιᾷ τοῦ μεγάλου βασιλέως Χριστοῦ καταλεγείς, ἑτοίμασον σεαυτὸν ἐν πάσῃ ἀνδρείᾳ πρὸς πάντα πόλεμον καὶ πειρασμὸν τοῦ ἐχθροῦ. Καὶ γὰρ ὁ δόλιος οὐ παύεται πολεμῶν ἡμᾶς διά τε νόσων διά τε θλίψεων διά τε ἐπιθυμιῶν διά τε σχέσεων συγγενῶν καὶ διὰ τῶν ἄλλων πασῶν πειρασμῶν. Ὡς γὰρ πολύτροπος πολυτρόπους καὶ τὰς μηχανὰς ἐξευρίσκει, ἵνα τινὰ ἀνεῳγμένον καὶ ἄοπλον τοῦ στερεοῦ λογισμοῦ εὑρών, σκελίσῃ αὐτὸν ὁ παμμίαρος. Ἀλλ᾽ ἡ κακία αὐτοῦ ἐπὶ τῇ αὐτοῦ κορυφῇ. Σὺ δὲ ἐν πάσῃ ἀνδρείᾳ ἀνδρίσθητι καὶ πάντα τὰ ἐπερχόμενά σοι, εἴτε νόσος, εἴτε ἄλλη τις θλίψις τοῦ ἐχθροῦ, μετ᾽ εὐχαριστίας καὶ ταπεινώσεως δέχου αὐτά, καὶ μόνην τὴν ἐλπίδα καὶ τὴν εὐχαριστίαν ἔχε πρὸς τὸν θεόν, ἵνα καὶ παρ᾽ αὐτοῦ τὴν βοήθειαν τάχιον ἕξῃς, καὶ μὴ θροηθῇς μηδὲ λυπηθῇς, ὅτι ὅσον τὸ σῶμα διὰ νόσων ταπεινοῦται, τόσον ἡ ψυχὴ τὴν ὑγείαν κέκτηται, καὶ εὐχαρίστει κατὰ πᾶσαν ὥραν θεῷ καὶ ἀγωνίζου τὴν κατὰ δύναμιν ἐργασίαν μὴ ἀμελεῖν, καὶ εὔχου καὶ ὑπὲρ ἐμοῦ τοῦ ἀθλίου καὶ ἀχρήστου. Ἄς μάθω δὲ πάλιν διὰ γραφῆς σου εἴ τι ἔχεις θέλημα.

Ὁ Κύριός μου εἴη φρουρῶν καὶ φυλάττων σε ἐκ πάσης ἐπιβουλῆς τῶν ὁρατῶν καὶ ἀοράτων ἐχθρῶν· ἀμήν.

## 388 (φ. 119α).

Πανδαισίαν ἡμῖν ἀγνωρίστως προὔθηκας, ὦ μεγαλοδοξότατε καὶ εὐγενῶν εὐγενέστατε κύριε Θδ. καὶ διὰ τοῦτο προθύμους ἡμᾶς ἐποίησας δισσῶς τοῦ ἐπεσταλκέναι τὴν σὴν εὐγένειαν ἐνθυμήσεως χάριν. Εὐχα-

1. ἤθει 2. ἐναγάπη 5. ἄξεις ἔτοιμος ἐστὶ 6. μηδὲ (καὶ 8) ὅπλα 7. μέλλει 9. ἑτοίμασον σεαυτὸν 12. Τὸ πασῶν ἐγράφη πάντως ὑπ᾽ αὐτοῦ συγγραφέως 13. ἐξεύρίσκει 15. πάντα πρόσθετον ἄνωθεν 17. εὐχαριστείας 18. εὐχαριστεῖαν 19. μηδὲ 22. ἀμελεῖς 23. ἂς 25. Τὸ μὲν ὁρατῶν πρόσθετον κάτωθεν, τὸ δὲ καὶ ἄνωθεν 1. πανδεσίαν προύθηκας 3. δυσσῶς ἀπεστάλκαι

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

μιστῶ δὲ τῷ Κυρίῳ, ὅτι ἀκούω ὑπὲρ σοῦ καὶ τῶν ὑπὸ σέ, ὅτι καλῶς καὶ ὑγιῶς ἔχετε τῷ σώματι, ἐλπίζω δὲ καὶ τῇ ψυχῇ. Καὶ γὰρ ἐπεθύμουν ἰδεῖν σας καὶ οὐκ ηὐπόρησα θεατὴς γενέσθαι σοι. Ὅμως, εἰ καὶ τῷ σώματι μακράν που ἔχοντες, ἀλλὰ νοερῶς πάντοτέ σε περιφέρομεν διὰ τὸ πρόπαλαι γνώριμον καὶ οἰκειότατον. Τανῦν δὲ τὸν ἐμὸν φοιτητὴν καὶ σὸν ἀδελφὸν ὡς ὄντως ἐντρύφημα τοῦτον ἔχοντες, πρῶτον διὰ μοναχικοῦ, δεύτερον ὅτι καὶ ἐπιμελῶς ἡμᾶς οἰκειώσατο, τούτου χάριν θεὸς ἀφιέρωσεν, ἵνα διὰ οἰκειώσεως πληρωθῇ τὸ πληρέστατον. Καὶ ταῦτα μὲν ὧδε. Τοὺς ὑπὸ σὲ ἅπαντας μετάνοιαν ἀπονέμω, καὶ ἀξιωθῶμεν νῦν καὶ τότε καὶ πάντοτε ἀμφοτέρως, ἵλεων γενέσθαι τὸν Κύριον ἐπὶ ταῖς ἁμαρτίαις ἡμῶν· ἀμήν

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

## 239 (φ. 119α).

Οὐκ ἔστιν καλὸν τιθέναι τὸν λύχνον ὑπὸ τὸν μόδιον, ἀλλ' ἐπὶ τὴν λυχνίαν. Τοῦτο γοῦν πρὸς τοὺς τὸν ἐνάρετον μετερχομένους βίον καὶ τοὺς λόγου μετόχους τὸ κυριακὸν ἔφησα λόγιον. ὅπως διὰ τῆς αὐτῶν ἀρετῆς τε καὶ λογιότητος φωτίζωνται οἱ πολλοὶ καὶ ὁδεύειν τὴν ἐνάρετον καὶ μακαρίαν ὁδόν. Διὰ γὰρ τοῦτο ἡ μετριότης ἡμῶν, καθ' ἑκάστην μέριμναν ποιουμένη περὶ τῆς ἁγίας τοῦ θεοῦ ἐκκλησίας, ὅπως εὕρω τὸν συνεργοῦντα καὶ βοηθοῦντα τῇ ἀδυναμίᾳ τοῦ γήρους μου, τῇ θελήσει τῶν πανιερωτάτων ἐπισκόπων, τοῦ τε θ̄ε̄ καὶ θ̄ε̄ καὶ τῇ συγκαταθέσει καὶ ἀρεσκείᾳ τῶν θεοφιλεστάτων ἀρχόντων καὶ κληρικῶν
119β τῶν δύο ἁγίων μεγάλων ἐκκλησιῶν ‖ τῆς τε ὑπ' ἐμὲ ἁγιωτάτης ἀρχιεπισκοπῆς καὶ τῆς ἁγιωτάτης ἐπισκοπῆς Λευκουσίας ἐξελέξατο ἡ μετριότης ἡμῶν κατενώπιον τοῦ πανυψηλοτάτου καὶ φιλοχρίστου αὐθέντου ἡμῶν καὶ μεγάλου ῥηγὸς Οὔγγου τὸν θεοφιλέστατον ἄρχοντα καὶ κληρικὸν τῆς ὑπ' ἐμὲ ἁγιωτάτης ἀρχιεπισκοπῆς τόνδε καὶ ἀνέθηκεν αὐτὸν εἰς τὸν ἡμέτερον τόπον τοῦ ἔχειν ἅπασαν τὴν ἐνέργειαν καὶ ἐξουσίαν μου, τοῦ λύειν καὶ δεσμεύειν καὶ διοικεῖν καὶ πράττειν ἅπαντα κατὰ νόμον καὶ κατὰ κανόνα, ἅπερ καὶ ἡ μετριότης μου ἐνεργεῖ καὶ

2. ὑγειῶς ἐπιθύμουν 3. οὐκηυπόρησα θεατὰς 4. περίφέρομεν
6. ἀδελφὸν ἐν τῷ κειμένῳ, ἐν δὲ τῇ ὤᾳ ἄνευ παραπεμπτικοῦ σημείου αὐτάδελφον ὄντι 6-7. πρῶτον δϊαμοναχῖκοῦ 7. οἰκειόσατο 8. δϊαοἰκειόσεως πληρωθεῖ 9. ταύτα ὧδε 3. μετὄχους 4. λογιώτητος φωτίζονται ὁδεύειν τοὺς 8. πανἱερωτάτων τοῦ 8-10. συνκαταθέσει
10. τής ὑπεμὲ 12. κατ' ἐνώπιον πανυψηλωτάτου 14. ὑπεμὲ

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

διοικεῖ καὶ πράττει ἄνευ καὶ μόνης τῆς χειροτονίας τῶν ἱερέων καὶ διακόνων. Εἰς δὲ τὰ μοναστήρια, ἤγουν εἰς ἡγουμένους καὶ μοναχούς, καὶ εἰς τὰς λοιπὰς δουλείας τῆς ἁγίας ἐκκλησίας καὶ χώρας ὅσας καὶ διαφέρει τὴν ἁγίαν τοῦ θεοῦ ἐκκλησίαν ἄνευ καὶ μόνης τῆς χειροτονίας, ὡς ἄνωθεν ἔφημεν, ὅλην τὴν ἐξουσίαν, δύναμιν καὶ ἐνέργειαν ἐπιδίδωμι νῦν πρὸς τὸν ἄνω δηλωθέντα τόνδε. Τοῦτο δὲ μέλλει τοῦ ἐνεργεῖν, διοικεῖν καὶ πράττειν μέχρις ὅτου καταλάβῃ ὁ ὁρισμὸς τῶν ὑποθέσεων ὧν ἀνέθηκεν ὁ ἁγιώτατος ἡμῶν αὐθέντης καὶ μέγας λεγάτος Οδ καὶ ἡ μετριότης ἡμῶν ἐπάνω τοῦ παναγιωτάτου καὶ μακαριωτάτου αὐθέντου ἡμῶν καὶ πάπα. Διά γὰρ τοῦτο καὶ τὸ παρὸν ἔνταλμα ἐγράφη καὶ ὑπεγράφη ὑπὸ τῶν πανιερωτάτων ἄνωθεν δηλουμένων ἐπισκόπων καὶ ὑπὸ τῶν θεοφιλεστάτων ἀρχόντων καὶ κληρικῶν τῶν δύο ἁγίων μεγάλων ἐκκλησιῶν τῶν καὶ ἄνωθεν δηλουμένων, καὶ σφραγισθὲν καὶ βεβαιωθὲν διὰ κηροῦ τῇ τῆς ἡμῶν μετριότητος σφραγῖδι ἐπεδόθη τῷ ἄνωθεν δηλωθέντι Οδ τοῦ ἔχειν τοῦτο πρὸς ἔνδειξίν τε καὶ ἀσφάλειαν. Μηνὶ καὶ ἰνδικτιῶνι.

## 40 (φ. 120α).

Τὸ ἀγαπᾶν τὸν θεὸν καὶ σέβεσθαι ἐξ ὅλης ψυχῆς, καρδίας καὶ διανοίας ἐκ τῆς δεκαλόγου νομοθεσίας τοῦτο ἐμάθομεν. Τὸ δὲ ἀγαπᾶν καὶ τὸν πλησίον ὡς σὲ αὐτὸν τὸ ἱερὸν ἐδίδαξεν Εὐαγγέλιον. Ὁ δοὺς δὲ τὰς ἀμφοτέρας ταύτας νομοθεσίας εἷς νομοθέτης ἐστίν, ὡς πιστεύομεν. Ἑτέρα πάλιν ἐντολὴ ἡ λέγουσα χαίρειν μετὰ χαιρόντων καὶ κλαίειν μετὰ κλαιόντων. Παῦλος δὲ ὁ ῥήτωρ τῆς ἐκκλησίας καὶ στόμα Χριστοῦ ἔφησεν· Τίς ἀσθενεῖ καὶ οὐκ ἀσθενῶ, τίς σκανδαλίζεται καὶ οὐκ ἐγὼ πυροῦμαι; Καὶ τί ταῦτα μέμνημαι γράφων; Ἐπιλήψει γάρ με διηγούμενον ὁ χρόνος. Πολὺς παρῆλθεν καιρός, ὦ ἀνδρῶν τιμιώτατε καὶ κατὰ πολὺ χρησιμώτατε, εὐγενέστατε ἄρχων κὺρ Οδ, καὶ ἐμοῦ τοῦ ῥυπαροῦ καὶ δυστυχοῦς καὶ δυστήνου προστασία καὶ ἀντίληψις, ὅτι οὐκ ἐσκόπευσας τὴν ἐμὴν οὐθενότητα ἐγγράφως οὐδὲ ἀγράφως, ἀλλ᾽ οὐδὲ διὰ ζώσης ταύτης φωνῆς ἡμᾶς ἠξίωσας τῆς καλλίστης καὶ πιθανῆς σου καὶ γλυκυτάτης παρηγορίας, ἵν᾽ ὅπως ἀναψύξωμεν ἐκ τῶν πολλῶν καὶ ἀμυθήτων ἡμῶν θλίψεων τῶν ἐπελθουσῶν ἡμῖν μετὰ τὴν

**5. ἄνοθεν 11. πανἱερωτάτων 14. σφραγίδι ἐπεδώθη 16, 17. ἀγαπὰν 18. δοῦς 23. πειροῦμαι εἰ ταῦτα 25. καταπολὺ 26. δύστιχοὺς δύστινον 28. διαζώσης 29. ἀναψύξομεν 30. ἡμὶν**



Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

τοῦ ἁγίου δεσπότου ἡμῶν ἄφιξιν. Ὅμως οἶδα τοῦτο πόθεν ἐστὶν ἐκ τοῦ πλήθους τῶν ἐμῶν ἀμετρήτων κακῶν. Βαβαί, βαβαί, ὦ τοῦ θαύματος. ἀπείργομαι ἐκ τοῦ δεινοῦ φορτίου τῶν ἐγκλημάτων μου. Διὰ τοῦ παμποθήτου μου υἱοῦ τοῦ νομικοῦ ποιῶ προσκύνησιν εἰς σέ, καὶ εἴθε αὐτοφεὶ ἐθεασάμην τὸν χαρακτῆρά σου. Τὸν γλυκύτατόν μου αὐθέντην καὶ προστάτην κῦρ Ο[?] καταφιλῶ, τοὺς ἐν τῷ οἴκῳ σου ἅπαντας ἀπὸ κεφαλῆς ἕως ποδῶν χαιρετίζω. Ἔρρωσο.

## 41 (φ. 120α)

Καὶ πᾶσι μὲν τοῖς τὸ ἀγαθὸν ἀλλοτρόπως καὶ καλῶς ἐργαζομένοις καὶ διαπράττουσιν ἐθέλει ἡ ῥηγικὴ ἐξουσία μου ἐπιβραβεύεσθαι τούτοις, ἣ δι' ἐφέσεως ἔχει δωρεάς τε καὶ χάριτας παρ' αὐτῆς. πολὺ δὲ τοῦτο καὶ ὡς ἐκ προνοίας θεοῦ [ἡ] ῥηγικὴ ἐξουσία μου εὐδοκεῖ διὰ τῆς παρούσης προστάξεως κατέχεσθαι παρὰ τοῦ πιστοτάτου ἀνθρώπου αὐτῆς τοῦδε ἡ ἔξωθεν τῆς Λευκουσίας διακειμένη ῥηγικὴ μονὴ καὶ 120β ἐπονομαζομένη Νεάγκωμος, || ἱδρυμένη δὲ εἰς ὄνομα τῆς μητρὸς τοῦ Κυρίου καὶ θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ ὑπερευλογημένης ἐνδόξου δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας ἐφ' ὅλῳ τῷ χρόνῳ τῆς ζωῆς αὐτοῦ μετὰ πάντων τῶν διαφερόντων τῇ τοιαύτῃ ὁσιωτάτῃ μονῇ δικαίων καὶ προνομίων μόνα καταβάλλειν ὀφείλοντος πρὸς τὸν κατὰ τὴν ἡμέραν καστελλανεύοντα δικαίων τῆς ῥηγικῆς ἐξουσίας μου. Ἐφ' ᾧ καὶ κελεύει μή τινα τῶν μετὰ τὴν πρὸς θεὸν ἐκδημίαν τῆς ῥηγικῆς ἐξουσίας μου κρατήσαντα τὴν τοιαύτην ἐξουσίαν ἔχειν ἄδειαν ἐξῶσαι τὸν ῥηθέντα ἄνθρωπον αὐτῆς τόνδε ἀπὸ τῆς τοιαύτης ἁγίας μονῆς παρ' ὅλον τὸν χρόνον τῆς ζωῆς αὐτοῦ, ὡς ὀφείλοντος τούτου ἀποκαρῆναι ἐν τῇ τοιαύτῃ ὁσιωτάτῃ μονῇ. Καὶ διορίζεται μηδ' ὅλως εἰσέρχεσθαί τινα τῶν ἀνθρώπων τῆς ῥηγικῆς ἐξουσίας μου ἐν αὐτῇ καὶ τὸ οἱονοῦν ἀναλαμβάνεσθαι, ἀλλὰ μᾶλλον διατηρεῖσθαι αὐτὴν καὶ τὰ προσόντα αὐτῆς ἀπὸ πάσης καὶ παντοίας ἐπη-

1. ἄφηξιν οἶδα τούτο 4. πανποθήτου ν(ι)ό(μ) 5. αὐτόφι χαρακτήρα 7. ἀποκεφαλῆς

7. (καὶ κατωτέρω) ῥηγικὴ ἐπιβραβέβεσθαι 8. ἡ δίεφέσεως δωρεάς τέ 9. πολύ δε ἡ προσέθηκα 11. ἡ 11. μονὴ ἐπ' ὀνομαζομένη νεάκω(μ) ἡδρυμένη ὑπερεὐλογημένης 16. καταβάλειν 20. ἐξιῶσαι 21. ὅλον τῶν χρόνων 22. τοῦτου ἀποκαρεῖναι 24. οἱονοῦν

ρείας, ἤγουν ἀγγαρείας, ζημίας καὶ λοιπῆς παραλόγου εἰσπράξεως, ὥστε καὶ προθυμοτέρους γενέσθαι τοὺς ἐν αὐτῇ ἀσκουμένους μοναχοὺς τὴν συνήθη θείαν ὑμνῳδίαν ἐκτελεῖν καὶ τῇ ῥηγικῇ ἐξουσίᾳ μου ὑπερεύχεσθαι. Ἐπὶ τούτῳ γὰρ καὶ το παρὸν πρόσταγμα τῆς ῥηγικῆς ἐξουσίας μου ἐπωρέξατο σὲ τὸν διαληφθέντα εἰρημένον τόνδε καὶ ἄνθρωπον αὐτῆς εἰς ἀσφάλειαν αἰωνίζουσαν. Μηνὶ καὶ ἰνδικτιῶνος.

## 42 (φ. 121α)

Ἐνδοξότατε κὺρ Οἷ καὶ ἡμέτερε αὐθέντα, χαίρειν καὶ εὐθυμεῖν σε ἐπεύχομαι εἰς Κύριον τὸν θεὸν ψυχικῶς ἅμα καὶ σωματικῶς ὁ πάντων εὐτελέστατος ἀναγνωστῶν Οἷ. Ὡς οὐ διέλαθεν τὴν αὐθεντίαν τὰ περὶ τῆς ἀσθενείας μου, ἰδοὺ δὴ χάριτι θεοῦ καὶ διὰ τῆς ἀγάπης σου τάχα διηλλάγην πρὸς ὑγίειαν, ἀλλ᾽ ἀκμὴν οὐ δύναμαι ἐξέρχεσθαι καὶ εἰσέρχεσθαι διὰ τὸ ταλαίπωρον τοῦ ἐλεεινοῦ μου σώματος. Διὰ τοῦτο γοῦν μὴ μεμφθῶ παρὰ τῆς αὐθεντίας, ὅτι οὐκ ἦλθον πρὸς ἐπίσκεψιν καὶ παρηγορίαν τῆς αὐθεντίας διὰ τὸν θάνατον τοῦ μακαρίτου Οἷ. Ἐθλίβημεν γὰρ οὐ μετρίως τὸν αὐτοῦ χωρισμόν· ἀλλ᾽ ὅμως ηὐχαριστήσαμεν τῷ θεῷ, ὅτι καλὸν τέλος καὶ σωτήριον ἔδωκε, μᾶλλον δὲ ὅτι ἠξιώθη καὶ τοῦ ἀγγελικοῦ σχήματος, καὶ Κύριος ὁ θεὸς κατατάξαι τὸ πνεῦμα αὐτοῦ μετὰ τῶν δικαίων, φυλάξαι δὲ τὴν αὐθεντίαν ἀπήμαντον εἰς ἔτη πολλὰ μετὰ καὶ τῶν εὐγενικωτάτων τέκνων σου καὶ τῆς ἐνδοξοτάτης ὁμευνέτιδος. Πλὴν οὐ μικρῶς θαυμάζομαι πως οὐκ ἔρχονται εἰς τὴν σχολὴν οἱ παῖδες καὶ οὐκ ἔχω συγκρῖναι καὶ κατανοῆσαι τὸ διὰ τί. Οὐ γὰρ σύνοιδα ἐξ ἐμαυτοῦ τι πταῖσμα καὶ διὰ τὸν θεὸν ἅς μοι δηλώσῃ ἡ αὐθεντία σου διὰ τάχους περὶ τούτου, ὅτι σφόδρα εἰμὶ περίλυπος καὶ σύννους, μὴ γινώσκων τί ἐστι τὸ αἴτιον τῆς ἑαυτῶν κωλύσεως, καί, εἴπερ ἠδυνάμην, ἐγὼ ἦλθον ἂν εἰς τὴν αὐθεντίαν, ἐπεὶ δέ γε οὐ δύναμαι, γέγραφα ταῦτα, καὶ μὴ τὸ κρατήσῃ ἡ αὐθεντία ὡς καταφρονητικόν. Ἔρρωσο, λογιώτατε πάντων ἀνθρώπων.

## 43 (φ. 164β—165α)

Ἄγαμαί σου τὴν φιλοφροσύνην, ὑπεράγαμαί σου τὴν καλογνωμο-

1. ἀγγαρίας 3. θεῖαν 4. τοῦτο 5. ἐπόρεξατο 6. αἰώνιζουσαν 10. ἀκμὴν 11. ἐλεεινοῦ 12. οὐκῆλθον 14. ηὐχαριστήσαμεν ἐκ τοῦ ηὐχαρίστησα διαγραφείσης τῆς ἐπὶ τοῦ υ βραχείας 15. ἠξιώθη 17. ἔτι 19. οὐκ᾽ 20. συγκρῖναι 20-21. τί ἄς μοι 22. διατάχους περιτούτου 23. ἑαυτῶν

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

σύντην, ἐπαινῶ σου τὸν θεάρεστον τρόπον, φίλη μοι κεφαλή, ὅτι καὶ διὰ μόνης ἀκοῆς φιλικὴν διάθεσιν ἢ καὶ μᾶλλον σχέσιν ἀδελφικὴν πρὸς τὴν ἐμὴν ἀνεδείξω ταπείνωσιν καὶ πρώτως ἡμῖν ὁμιλῆσαι διὰ γραμμάτων ἠξίωσας καὶ οὐχ ἁπλῶς ὁμιλῆσαι, ἀλλὰ καὶ τὰ καθ' αὐτὸν ἀκραιφνεστέρως ἀνακοινώσασθαι τῇ ἐμῇ οὐθενότητι, καίπερ μηδαμῶς εἰς ὄψιν ἡμῖν ἐλθὼν μηδὲ συλλαλήσας τὸ σύνολον. Δεῖγμα δὲ τοῦτο τῆς εἰλικρινοῦς σου διαθέσεως καὶ τῆς κατὰ θεὸν σεμνῆς πολιτείας καὶ τῶν τρόπων σου τῆς εὐθύτητος. Ἀλλ' ἡμεῖς μέν, τὰ σὰ φίλα γράμματα δεξάμενοι καὶ ὡς θεόπεμπτον δῶρον οὐρανόθεν εἰς γῆν κατιόν καὶ πρὸς ἡμᾶς ἐνδημῆσαν φιλοφρόνως ἀποδεξάμενοι, πολλῆς μὲν ἡδονῆς ἐνεπλήσθημεν καὶ εὐφροσύνης πνευματικῆς, μεγάλας δέ σου τὰς χάριτας καὶ εὐχαριστίας ἀνωμολογήσαμεν, δόξαν δὲ μετ' εὐχῆς τῷ ἁγίῳ θεῷ ἀνεπέμψαμεν τῷ φυλάσσοντι καὶ τηροῦντι τοὺς ἐκλεκτοὺς αὐτοῦ καὶ λυτρουμένῳ τοὺς δούλους αὐτοῦ ἐκ ῥομφαίας πονηρᾶς. Ἰδοὺ κατὰ τὸν Δαυὶδ οἱ ὀφθαλμοὶ Κυρίου ἐπὶ τοὺς φοβουμένους αὐτόν, τοὺς ἐλπίζοντας ἐπὶ τὸ ἔλεος αὐτοῦ ῥύσασθαι ἐκ θανάτου τὰς ψυχὰς αὐτῶν, εἴτ' οὖν τοῦ σωματικοῦ καὶ κοινοῦ θανάτου πᾶσι βροτοῖς, εἴτε καὶ τοῦ ψυχικοῦ τοῦ πρὸς ὄλεθρον καὶ ἀπώλειαν παραπέμποντος, καὶ διαθρέψαι αὐτοὺς ἐν λιμῷ. Οὐ λιμόν, οἶμαι, ἄρτου καὶ ὕδατος αἰνίττεσθαι, ἀλλὰ λιμὸν τῶν θείων ἀρετῶν ἢ τοῦ ὀρθοῦ λόγου τῆς εὐσεβείας. Οὐκ ἐπ' ἄρτῳ μόνῳ ζήσεται ἄνθρωπος, ἀλλ' ἐπὶ παντὶ ῥήματι ἐκπορευομένῳ διὰ στόματος θεοῦ. Τὸ δὲ ἔσται ἐν ἐκείναις ταῖς ἡμέραις λιμὸς οὐκ ἄρτου καὶ ὕδατος, ἀλλὰ λιμὸς τοῦ ἀκοῦσαι λόγον θεοῦ.
φ.165α αὐτὰς οἶμαι τὰς παρούσας || ἡμέρας αἰνίττεται, ἐν αἷς ἡμεῖς κατηντήσαμεν, ἐξ ὧν ὁ θεὸς ἡμᾶς ῥύσοιτο ἀπημάντους διὰ πολλὴν καὶ ἄμετρον αὐτοῦ εὐσπλαγχνίαν.

Τί δὲ τὸ σὸν φίλον γράμμα, τί δὲ καὶ ἡμεῖς αὐτοί; Ἆρά γε, δεξάμενοι καὶ ἀποδεξάμενοι τοῦτο καὶ ἀναγνόντες καὶ ἐπιγνόντες τὰ γεγραμμένα, ἠρκέσθημεν μέχρι τοῦδε; Οὔμενουν, οὐ νὴ τὴν ἀλήθειαν, ἀλλὰ καθάπερ τις δίψῃ φλεγόμενος, ἐπειδὰν αἴσθηται ἰκμάδα ὕδατος, καλλιρρόου, μὴ δυνηθεὶς τῇ πηγῇ τοῦ ὕδατος προσπελάσαι καὶ κορεσθῆναι, οὐ μόνον τὸν τῆς δίψης οὐκ ἐξακέσασθαι φλογμὸν ἴσχυσεν, ἀλλὰ καὶ μᾶλλον ἀσχολήσεις ἑαυτῷ προεξένησεν, ἐκκαιόμενος τῷ πόθῳ τῆς καλλιρρόου πηγῆς, τὸν αὐτὸν δὴ καὶ ἡμεῖς τρόπον πεπόνθαμεν,

4. οὐχ' 4. αὐτὸν ἐκ τοῦ αὐτὸν 19-20. ἐνίττεσθαι 29. ουμενοῦν
31. καλιρρόου ἐκ τοῦ καλιρρόου 33. ἀσχολίσεις ἑαυτῶ 34. καλιρρόου

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

τοῖς σοῖς γράμμασιν ἐντυχόντες, περιχαεῖς γενόμενοι τῷ πόθῳ τῆς σῆς αἰσθητῆς ὄψεως καὶ τῆς διὰ ζώσης σου φωνῆς ὁμιλίας, ἧς μὴ ἀπαξιῶσαι ἡμᾶς ὁ καλός. Περὶ μέντοι τῆς βραδυτῆτος τῆς ἀποκρίσεως καὶ τῆς μὴ κατὰ πόδας εὐθὺς ἀπαντήσεως τοῦ ἀντιγράμματος μὴ θαυμάσῃς, ὦ φίλος. Τὸ μὲν γὰρ ἀσχολούμενοι ἐν ταῖς ἐπισημαινούσαις παρὰ τῶν ἔξωθεν ὀχλήσεσι καὶ φροντίσι, τὸ δὲ καὶ δι' ἄλλας τινὰς ἴσως αἰτίας, ὧν ἡ σιωπὴ ἄμεινον, παρεδράμομεν τὴν ἀπόκρισιν. Ἀξιοῦμεν οὖν τὴν σὴν καλοκαγαθίαν δέξασθαι τὸ παρὸν γράμμα φιλοφρόνως ὡς φίλιον καὶ μὴ ἀνάρμοστον τοῦτο λογίσῃ, εἰ καὶ ἀνάξιον τῆς περιωπῆς καὶ τοῦ ὕψους τῆς σῆς γνώσεως. Περὶ δὲ τοῦ τόπου, ὃν πυνθανόμενος ἔγραφας, ἐπειδὰν εὐδοκήσῃς θεοῦ ἀρωγῇ τοῦ καταλαβεῖν τὰ ἡμέτερα, ἴδῃς ἂν καὶ τοὺς τόκους τοὺς καθ' ἡμᾶς καὶ τῶν περὶ ἡμᾶς οὐδέν σοι κεκα- φ 165β
λυμμένον ἀπολειφθήσεται. || Ἴσως δὲ καὶ τοῦ ἐρωμένου ἐντύχῃς καὶ τῶν κατὰ φρένα καὶ κατὰ θυμὸν ἐπιτύχῃς, εὐδοκοῦντος θεοῦ καὶ συμπράττοντος.

Τὰ κατὰ τὴν ἡμῶν μετριότητα γνωριεῖ τὴν σὴν ἀξιολογότητα ὁ ἀγαπητὸς ἀδελφὸς ἱερομόναχος κὺρ Εὐθύμιος ὁ τὸ παρὸν ἀποκομίζων γραμμάτιον, ὃς προὔθετο, θεοῦ εὐδοκοῦντος, παλίνορσος ἐπαναδραμεῖν πρὸς ἡμᾶς. Γένοιτο δὲ ἡμᾶς δέξασθαι τοῦτον διπλοῦν ἀνθ' ἁπλοῦ καὶ συνευφρανθῆναι τῇ ἐπιστροφῇ τούτου καὶ τῇ παρουσίᾳ τῆς σῆς τιμιότητος, ἣν Κύριος ὁ θεὸς διαφυλάττοι μοι ὑγιῆ καὶ πανεύθυμον εἰς ἔτη πολλά. Πολυχρονηθείης μοι.

## **44** (φ. 165β—166α).

Τῷ ἠγαπημένῳ μοι αὐθέντῃ καὶ ἀδελφῷ κυρῷ δεῖνα χάρις, ἔλεος ἀγαθῶν θησαυρὸς πληθυνθείη καὶ μακραίων δοθείη ζωή. Ἐπόθεις ἡμᾶς, ὡς ἐνόμιζον, ἐκ ψυχῆς καὶ ἡγοῦ θαυμαστοὺς καὶ φίλων πρώτους ἐνόμιζες, ἐπαίνοις καὶ γέρασι καὶ ἐγκωμίοις κατέστεψες. Ἐγὼ δὲ τὴν ἀγάπην σου θέμεθλον ἀσφαλὲς τῆς εἰς θεὸν δοξολογίας ὑπέβαλλον καὶ ὁσημέραι χαρμονικῶς ἐνεθουσίων καὶ ἐμαυτὸν εὐδαιμόνιζον, τοιούτου φίλου ἐπιτυχὼν ἀγαθοῦ. Ἀλλ' ὢ τῆς συμφορᾶς. Οὕτως ἐπελάθου ἡμῶν ὡς μηδέποτε κατὰ πρόσωπον θεαθέντων σοι, καὶ οὔτε ἡμᾶς ἄλλοτε κατιδεῖν κατηξίωσας, καὶ ταῦτα δὶς καὶ τρὶς εἰς Λευκουσίαν ἐλθόντας,

6. ἔξοθεν 9. λογήση περιοπῆς 18. προὔθετο (;) 20. ἀποστραφῇ 22. ζωὴ ἐκ τοῦ ζώη. 24. ἐπαῖνοις 24. γέραιρες 25. ὑπέβαλον. 28. καταπρόσωπον

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ... ΔΙΕΥΘΥΝΤΗΣ ΚΑΘΗΓΗΤΗΣ ... Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ο ὕτε γράμμασι παρηγόρησας. Εἰ μὲν οὖν ἐγὼ τῆς ἐμμέσου λήθης τὰς ἀφορμὰς δέδωκα, δήλωσον καὶ διόρθωσιν λήψομαι. Εἰ δ' αὐτὸς τυγχάνεις τῆς διαστάσεως αἴτιος, δέομαι πάλιν ἡμῖν φιλιώθητι καὶ ἡγοῦ φί-
φ.166α λους ἡμᾶς καὶ γραφικαῖς δεξιώσεσιν ἀναλάμβανε, ‖ ἐγὼ δέ, καὶ δυνάμενος εἰς Ρωμανίαν ἀπελθεῖν διὰ τὴν βασιλικὴν ἀγανάκτησιν, εὗρον τόπον ἡσυχίας ἀνάμεστον ἐν ὄρει τινὶ ἀναμέσον Πάθνας καὶ Αὐδίμου, ὕδωρ μόνον πλουτοῦντα καὶ ξύλα ξηρά, καὶ ἐποιησάμην ἐν αὐτῷ τὴν κατοικίαν, καὶ κάθημαι τὸ ἔλεος τοῦ θεοῦ προσδεχόμενος καὶ ἄφεσιν εὑρεῖν τῶν παραπτωμάτων ζητῶν ἐμνήσθην καὶ ὅτι ποτὲ εἶχον φίλον καὶ ἐρχομένου αὐτόθι τοῦ ἐμοῦ μαθητοῦ ἐνεχείρισ' αὐτῷ τὴν παροῦσαν γραφήν, ἐπιποθῶν μαθεῖν τὰ περὶ τῆς ὑγείας σου. Πολυχρονηθείης.

*Μιχαὴλ ἀχρεῖος ἱερομόναχος*

## 425 (φ. 166α-β)

Τῷ πανιερωτάτῳ μητροπολίτῃ Ἀπαμείας Μιχαὴλ ἁμαρτωλὸς ἱερομόναχος χαίρειν. Εἰ βούλει δὲ καὶ ἕτερον φιλίας ἐνδεικτικὸν δέξασθαι πρόσρημα, καὶ τοῦτο προσθήσομεν. Ζωή σοι πολυχρόνιος βραβευθείη πρὸς θεοῦ, ὑγεία χαρίεσσα συντηρηθείη χρόνοις μακροῖς, πλοῦτος κενούμενος καὶ μὴ κενούμενος, ἤγουν ὁ τῆς φθαρτῆς καὶ ἀφθάρτου ζωῆς χαρισθείη σοι, τιμαὶ καὶ εὔκλειαι καὶ λαμπρότητες ἄδολοι πληθυνθείησάν σοι διὰ πάσης ζωῆς, καί, ἵνα συνελὼν εἴπω, πᾶν εἴ τι χαρᾶς πρόσρημα καὶ ἀγαλλιάσεως γέγραπται παρ' ἀρχαίοις ἀνδράσι καὶ τοῦτό σοι πρὸς ἡμῶν ἐπιφέρεται. Τοῦτο δὲ ἠναγκάσθην εἰπεῖν διὰ τὸ ἀγανακτῆσαί σου τὴν ἁγιότητα πρὸς τὴν τοῦ εὖ πράττειν, τοῦ χαίρειν. Τὸ γὰρ χαίρειν διασήμαντον· πολλάκις γὰρ καὶ ἐπὶ τοῦ φθείρεσθαι λέγεται, τὸ δὲ εὖ πράττειν ἐπὶ καλοῦ λαμβάνεται πάντοτε. Τῷ γοῦν χρησιμω-
φ.166β τέρῳ ἐχρησάμην προσρήματι ἐγὼ καὶ ἐκατέλαβον εἰς ‖ Λευκουσίαν τὴν παρελθοῦσαν Παρασκευὴν μετὰ τὴν ἐξέλευσιν τῆς σῆς ἁγιότητος, καὶ ὄρεξιν εἶχον τὴν θελκτὴν τὴν σὴν θεάσασθαι πρόσοψιν καὶ φιλικῶς ὁμιλῆσαί σοι καὶ ἀδελφικῶς τρανωθῆναι τὸν πόθον ἡμῶν. Ἀλλ' αἱ ἁμαρτίαι μου τὴν ἐμὴν γνώμην ἠμαύρωσαν, καὶ ἀνομίλητον εἴασαν. Ὅμως τὸν βασιλικὸν ὁρισμὸν ἐδεξάμην, καὶ ἐξ ὅλης ψυχῆς ηὐχαρίστησα τῇ ἀγάπῃ σου, καὶ Κύριος ὁ θεὸς βραβεύσαι σοι πᾶν εἴτι χρηστόν, ὅτι πεποίηκας ἔργον ἀγάπης μεστόν. Φίλει τοίνυν καὶ ἔτι τοὺς οὐτιδανοὺς καὶ

1. παριγόρισας εμέσου
11. πανιέρωτάτω 18. ἀνδράσι 27. ἀνωμίλητον εἰάσαν

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΓΙΑΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ἀχρείους ἡμᾶς, καὶ λογίζου φίλους ὀρθοὺς καὶ ὑποκρισίας ἐκτός. Πολυχρονηθείης.

*Μιχαὴλ ἁμαρτωλὸς ἱερομόναχος*

## 46 (φ. 167α).

### *Προτροπὴ ἀρχιερέως εἰς ἕτερον ἀρχιερέα ἵνα ποιήσῃ χειροτονίαν εἰς τὴν αὐτοῦ ἐνορίαν*

Ματθαῖος ἐλέῳ θεοῦ ἐπίσκοπος Ἀμαθούντων καὶ πρὸς δὲ Νεμεσοῦ καὶ Κουραίων τῷ θεοτιμήτῳ ἐπισκόπῳ Ἰόππης καὶ συλλειτουργῷ κῦρ Ἀθανασίῳ χαίρειν καὶ ὑγιαίνειν σε τὴν διπλῆν ὑγείαν ἐπεύχομαι. Ὡς γὰρ φύλαξ τῶν τοῦ θεοῦ προσταγμάτων καὶ τὴν τῶν κανόνων ἐπίσταμαι ἔχειν σε τήρησιν. Ἐπεὶ δὲ οἱ θεῖοι καὶ ἱεροὶ κανόνες διορίζονται μὴ ἐξεῖναί τινα ἐπίσκοπον παρ' ἐνορίαν λειτουργεῖν ἢ χειροτονίας ποιεῖν παρὰ γνώμην καὶ προτροπὴν τοῦ τῆς ἐνορίας ἐπισκόπου, τὸν αὐτὸν δὴ τρόπον καὶ ἡ σὴ ἁγιότης ὑπό τινος παρακληθεὶς εἰς τὸ χειροθετῆσαί σε τὸν μοναχὸν Θεοδόσιον καὶ ἐκκλησίαρχον τῆς σεβασμίας μεγάλης μονῆς οὐκ ἠνέσχου ποιῆσαι τοῦτο παρὰ γνώμην ἡμετέραν οὔτε ἐν γωνίᾳ καὶ παραβύστῳ, ἀλλὰ προτροπὴν ᾐτήσω παρὰ τῆς ἐμῆς μετριότητος, ὥστε τὸ τοιοῦτον ἔργον ἀναφανδὸν καὶ φανερῶς ἐκτελέσαι. Ὡς δὲ καί τινες τῶν εὐγενεστάτων ἀρχόντων ἕως ἐμοῦ παρεγένοντο, ἐκλιπαροῦντές με περὶ τούτου, εἶξω τῇ τούτων παρακλήσει. Καὶ δὴ ἀδελφικῶς προτρέπω τὴν σὴν ἁγιότητα ἐν πάσῃ τῇ ὑπ' ἐμὲ ἐνορίᾳ λειτουργήσας ἐκτελέσαι σε τὴν προρρηθεῖσαν χειροτονίαν. Τούτου γὰρ χάριν καὶ τὴν παροῦσαν προτρεπτικὴν γραφὴν πεποίηκα πρὸς τὴν σὴν τιμιότητα, καὶ ἐκύρωσα αὐτὴν τῇ ἡμετέρᾳ σφραγῖδι. Ἔρρωσο.

Μηνὶ Ἰουλίῳ γ'. τῆς ϛε' ἐγχρονίας ἰνδικτιῶνος ιε'.

## 47 (φ. 167β).

### *Ὑψηλότατε ῥὴξ*

Ὑψηλότατε ῥὴξ Ἱεροσολύμων καὶ τῆς περιωνύμου Κύπρου, ποθεινότατε υἱὲ τῆς ἡμῶν μετριότητος κῦρ Ἐρρῆ, ἐπεύχεταί σοι παρὰ θεοῦ

5-6. ἱερᾶς τινὰ ἐνορίαν 8. χειροθετῆσαι 10. γονία 12. ἀναφανδων 13. ἕως εμοῦ 15. πάσῃ 16. προρρηθείσαν τοῦ 18. ἐκήρωσα 22. ὑψηλότατε ξὴ

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΑΣ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ἡ μετριότης ἡμῶν πλήρωσιν τῶν ἐντολῶν αὐτοῦ καὶ ἐπὶ παντὶ ἔργῳ θεοφιλεῖ εὐόδωσιν, ἔτι τε καὶ βοήθειαν εἰς τὸ διεξάγειν τὴν ὑπὸ σὲ ἀρχὴν καὶ τὸ αὐτοῦ ἀρεστόν. Ὁ εὐγενέστατος καβαλλάριος τῆς ῥηγικῆς ἐξουσίας σου κῦρ Ἰωάννης καὶ Γρατερόλλας κατέλαβεν ἐνταῦθα καὶ ἐπιστολὴν τῆς ῥηγικῆς ἐξουσίας σου διεκομίσατο πρός με, δι' ἧς ἔγνω ἡ μετριότης ἡμῶν, ὅτι τῆς πατρικῆς ἐξουσίας ἐπελάβου, θεοῦ βοηθοῦντος, καὶ μεγάλως αὐτῷ τῷ θεῷ ηὐχαρίστησα, ὅτι τοῦ ἀγαθοῦ πατρὸς καὶ εἰς πάντας ἀνθρώπους ἐπαινετὸν ὄνομα κτησαμένου διάδοχος καὶ κληρονόμος ἐγένετο ἀγαθὸς υἱός. Τί λοιπὸν ἕτερον γράφειν πρὸς σὲ παρὰ τοῦτο; Βλέπε πρὸς τὴν πατρικὴν ἀρετὴν καὶ παράδειγμα ἔχε τοῦ βίου καὶ τῆς ἐξαγωγῆς τῆς σῆς ἐξουσίας τὸν γεννήσαντα, καὶ πάντως, ὡς ἐθαυμάσθη παρὰ τοῖς ἄλλοις ἀνθρώποις ἐκεῖνος, θαυμασθήσῃ καὶ σύ. Μάλιστα πάντων διατίθεσο πρὸς τοὺς ὑπὸ τὴν ἐξουσίαν σου Ῥωμαίους, ὡς ἐκεῖνος διετίθετο, ἀλλὰ καὶ οἱ πρόγονοί σου ῥῆγες· πάντες γὰρ ἠγάπων αὐτοὺς καὶ ἐκήδοντο καὶ οὐδενὶ συνεχώρουν ἀδικίαν καὶ δυναστείαν ἐνδείξασθαι εἰς αὐτούς. Ταῦτα φύλασσε καὶ ἡμᾶς τὰς πάσας ἡμέρας τῆς ζωῆς ἡμῶν ἕξεις καὶ φίλους γνησίους καὶ εὐχέτας. χρόνους μακρούς, καὶ ζωὴν ἐπαινετὴν χαρίζοιτο τῇ ῥηγικῇ ἐξουσίᾳ σου ὁ ἐπὶ πάντων θεός.

Γ ρ η γ ό ρ ι ο ς ἐλέῳ θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως Νέας Ῥώμης καὶ οἰκουμενικὸς πατριάρχης.

## **48** (φ. 168α-β).

### *Ἴσον ἐλευθερωτικόν*

Οὕσπερ ἡ φύσις ἐλευθέρους ἀπέδειξεν, τούτους τυραννικὴ βία εἰς δουλείαν μετήνεγκεν, ὁ δὲ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς καὶ θεὸς ἐν τῷ σταυρῷ τὰς ἑαυτοῦ χεῖρας ἁπλώσας καὶ τῷ τιμίῳ αὐτοῦ αἵματι τοὺς δακτύλους αὐτοῦ ἐρυθρώσας, πᾶσαν ἡμῖν τὴν ἐλευθερίαν ἐχαρίσατο. Τοίνυν κἀγὼ ὁ δεῖνα ὁ τὸν τίμιον σταυρὸν ποιήσας εἰς πίστωσιν τῆς ἀληθείας καὶ τῶν ὑποτεταγμένων βεβαίωσιν τὸ παρὸν τῆς ἐλευθερίας ἔγγραφον ὁμοῦ καὶ ἐνυπόγραφον τὸ ἑκουσίως καὶ αὐτοθελῶς τὸ ἐκτὸς δόλου καὶ τρόπου μετὰ καθολικοῦ δεφενσίωνος καὶ πάσης νομικῆς βοηθείας καὶ ἀντιλήψεως τὸ οὐκ ἔκ τινος τὸ παράπαν ἀνάγκης ἢ χλεύης

2. τὲ δϊέξάγειν 3. καβαλ[ae] 8. κτισαμένου 13. μάλλιστα
21. τυραννικῆ 23. ἑαύτοῦ ἁπλῶσας αὐτοῦ αὐτοῦ 24. ἐρυθρῶσας

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ἢ ῥαδιουργίας ἢ νοὸς ἀσθενείᾳ ἢ φάκτου ἀγνοίᾳ ἢ δόλου ἢ ἀπάτης ἢ πλάνης ἢ δελεασμοῦ ἢ ἄλλης ἐπιψόγου καὶ ἀπηγορευμένης τῷ νόμῳ προφάσεως, προθυμίᾳ σὺν μᾶλλον παντοίᾳ καὶ καρδίας ἁπλότητι μετὰ νενοημένου σκοποῦ καὶ συνεχοῦς διασκέψεως..... Δι' ὃ ἐλευθερῶ σε τὸν δεῖνα, ὃν ὠνησάμην ἐκ τοῦ δεῖνα, Ἀγαρηνὸν ὄντα τὸ πρότερον καὶ ἐκ τῆς ‖ θείας κολυμβήθρας μετονομασθέντα τόδε, ὥς φησιν ὁ θεῖος φ.168β ἀπόστολος· Ἀδελφοί, Χριστὸς ἡμᾶς ἐξηγόρασε τῷ τιμίῳ αὐτοῦ αἵματι. Τοίνυν καὶ σὺ ἔσῃ ἀπὸ τοῦ νῦν ἐλεύθερος, παντελεύθερος Ῥωμαῖος πολίτης, ἀκαταζήτητος, ἀδιάσειστος, ἀκαταδούλωτος διάγειν καὶ περιπολεύειν ἔνθα καὶ βούλῃ, μὴ ἔκτινος τὸ παράπαν ἐμποδιζόμενος, ἀλλ' ἀπὸ τοῦ νῦν καὶ εἰς τοὺς ἑξῆς καὶ διηνεκεῖς χρόνους ἐλεύθερος παντελεύθερος Ῥωμαῖος πολίτης κυρίως καὶ αὐθεντικῶς ποιεῖν καὶ πράττειν τὰ ὑπὲρ σοῦ. Ὅστις δὲ βουληθῇ ἢ ἐγὼ ἢ ἄλλος τις ὁποῖον δή τι πρόσωπον καθ' οἱονδήτινα τρόπον καθ' οἱανδήτινα πρόφασιν ὅστις ἂν καὶ εἴη ἢ ἐκ τοῦ μέρους σου ἢ ξένος ἢ ἴδιος βουληθῇ ἑλκῦσαί σε εἰς δουλείαν δυναστικὴν ἀπὸ τοῦ νῦν καὶ εἰς τοὺς ἑξῆς καὶ διηνεκεῖς χρόνους ὁ τοιοῦτος μὴ πρόσωπον ἴδῃ ἵλεων θεοῦ, ἀλλ' ἕξῃ τὰς ἀρὰς τῶν τιη' θεοφόρων πατέρων τῶν ἐν Νικαίᾳ καὶ τὸ ἀνάθεμα, ζημιούτω δὲ καὶ ὁ τοιοῦτος εἰς τὸ βασιλικὸν βεστιάριον νομίσματα χρυσᾶ τόσα καὶ τῷ δημοσίῳ τὸ διαφέρον. Σὺ δὲ ὁ δεῖνα ἔσο ἐλεύθερος παντελεύθερος καὶ ἀζημίωτος. Διὰ τουτο ἐπεδόθης τὸ τοιοῦτο τῆς ἐλευθερίας ἔγγραφον καὶ εἰς ἔνδειξιν καὶ ἀσφάλειαν, ἑρμηνευθὲν τὸ ὕφος παρὰ τοῦ νομικοῦ καὶ γραφέως ἄνωθεν τὸν σταυρὸν ποιήσας ἐνώπιον τῶν μερῶν. Μὴν τόδε ἰνδικτιῶνος.

## 49 (φ. 169α-β)

Εἰ τοῖς πατράσιν ὑποκεῖσθαι τὰ τέκνα προσήκει, πόσῳ γε μᾶλλον τοὺς ὑπὸ τὸν ἐλαφρότατον ζυγὸν τοῦ Χριστοῦ τὸν ἑαυτῶν ὑποκλίναντας αὐχένα καὶ τὸν μονήρη βίον τῆς κοσμικῆς πολυφροντίστου πολυταράχου τύρβης προκρίναντας καὶ δουλωθέντας τῷ πνεύματι καὶ μηδὲν ὅλως ἐν ἑαυτοῖς ἐγκαταλείψαντας εἰδικὸν θέλημα τοῖς πατρικοῖς ὑποκεῖσθαι

4. συνεχοῦς 5. δεῖνα ὃν ὠνισάμην δεῖνα ἀγαρινὸν πρώτερον 6. ὡς φησὶν 7. τημίω 8. ἔσοὶ παντέλεύθερος 9. ἀδῖάσυστος ἀκατάδούλοτος 11. ἐξῆς παντέλεύθερος 13. ὅςτις βουλῆ*' ὁποῖονδήτινι 14. οἷον καθοίανδήτινα ὅστις μεθ' ὃ κἂν διαγεγραμμένον βουλη*' ἐλκύσαι 16. ἐξεῖς 17. ἵλεον ἔξη 19. Ί'Ι χρυσᾶ τὸ 19-20. τῷ διαφέρων ἔσω παντέλεύθερος 22. ἑρμηνευθὲν γραφέος 25. ἰδικὸν ἐν τῷ ὑποκεῖσθαι τοῦ καὶ προηγεῖται πει διαγεγραμμένον

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ἢ ῥᾳδιουργίας ἢ νοὸς ἀσθενείᾳ ἢ φάκτου ἀγνοίᾳ ἢ δόλου ἢ ἀπάτης ἢ πλάνης ἢ δελεασμοῦ ἢ ἄλλης ἐπιψόγου καὶ ἀπηγορευμένης τῷ νόμῳ προφάσεως, προθυμίᾳ σὺν μᾶλλον παντοίᾳ καὶ καρδίας ἁπλότητι μετὰ νενοημένου σκοποῦ καὶ συνεχοῦς διασκέψεως..... Δι' ὃ ἐλευθερῶ σε τὸν δεῖνα, ὃν ὠνησάμην ἐκ τοῦ δεῖνα, Ἀγαρηνὸν ὄντα τὸ πρότερον καὶ ἐκ τῆς ‖ θείας κολυμβήθρας μετονομασθέντα τόδε, ὥς φησιν ὁ θεῖος φ.168β ἀπόστολος· Ἀδελφοί, Χριστὸς ἡμᾶς ἐξηγόρασε τῷ τιμίῳ αὐτοῦ αἵματι. Τοίνυν καὶ σὺ ἔσῃ ἀπὸ τοῦ νῦν ἐλεύθερος, παντελεύθερος Ῥωμαῖος πολίτης, ἀκαταζήτητος, ἀδιάσειστος, ἀκαταδούλωτος διάγειν καὶ περιπολεύειν ἔνθα καὶ βούλῃ, μὴ ἔκτινος τὸ παράπαν ἐμποδιζόμενος, ἀλλ' ἀπὸ τοῦ νῦν καὶ εἰς τοὺς ἑξῆς καὶ διηνεκεῖς χρόνους ἐλεύθερος παντελεύθερος Ῥωμαῖος πολίτης κυρίως καὶ αὐθεντικῶς ποιεῖν καὶ πράττειν τὰ ὑπὲρ σοῦ. Ὅστις δὲ βουληθῇ ἢ ἐγὼ ἢ ἄλλος τις ὁποῖον δή τι πρόσωπον καθ' οἱονδήτινα τρόπον καθ' οἱανδήτινα πρόφασιν ὅστις ἂν καὶ εἴη ἢ ἐκ τοῦ μέρους σου ἢ ξένος ἢ ἴδιος βουληθῇ ἑλκῦσαί σε εἰς δουλείαν δυναστικὴν ἀπὸ τοῦ νῦν καὶ εἰς τοὺς ἑξῆς καὶ διηνεκεῖς χρόνους ὁ τοιοῦτος μὴ πρόσωπον ἴδῃ ἵλεων θεοῦ, ἀλλ' ἕξῃ τὰς ἀρὰς τῶν τιη' θεοφόρων πατέρων τῶν ἐν Νικαίᾳ καὶ τὸ ἀνάθεμα, ζημιούτω δὲ καὶ ὁ τοιοῦτος εἰς τὸ βασιλικὸν βεστιάριον νομίσματα χρυσᾶ τόσα καὶ τῷ δημοσίῳ τὸ διαφέρον. Σὺ δὲ ὁ δεῖνα ἔσο ἐλεύθερος παντελεύθερος καὶ ἀζημίωτος. Διὰ τουτο ἐπεδόθης τὸ τοιοῦτο τῆς ἐλευθερίας ἔγγραφον καὶ εἰς ἔνδειξιν καὶ ἀσφάλειαν, ἑρμηνευθὲν τὸ ὕφος παρὰ τοῦ νομικοῦ καὶ γραφέως ἄνωθεν τὸν σταυρὸν ποιήσας ἐνώπιον τῶν μερῶν. Μὴν τόδε ἰνδικτιῶνος.

## **49** (φ. 169α-β)

Εἰ τοῖς πατράσιν ὑποκεῖσθαι τὰ τέκνα προσήκει, πόσῳ γε μᾶλλον τοὺς ὑπὸ τὸν ἐλαφρότατον ζυγὸν τοῦ Χριστοῦ τὸν ἑαυτῶν ὑποκλίναντας αὐχένα καὶ τὸν μονήρη βίον τῆς κοσμικῆς πολυφροντίστου πολυταράχου τύρβης προκρίναντας καὶ δουλωθέντας τῷ πνεύματι καὶ μηδὲν ὅλως ἐν ἑαυτοῖς ἐγκαταλείψαντας εἰδικὸν θέλημα τοῖς πατρικοῖς ὑποκεῖσθαι

4. συνεχοὺς 5. δείνα ὂν ὠνισάμην δείνα ἀγαρινὸν πρώτερον 6. ὡς φησὶν 7. τημίω 8. ἔσοὶ παντέλεύθερος 9. ἀδΐάσυστος ἀκατάδούλοτος 11. ἐξῆς παντέλεύθερος 13. ὄςτις βουλή° ὁποῖονδήτινι 14. οἷον καθοίανδήτινα ὄστις μεθ' ὃ κᾶν διαγεγραμμένον βουλη°' ἐλκύσαι 16. ἐξεῖς 17. ἵλεον ἔξη 19. ΊΊ χρυσᾶ τὸ 19-20. τῷ διαφέρων ἔσω παντέλεύθερος 22. ἐρμηνευθὲν γραφέος 25. ἰδικὸν ἐν τῷ ὑποκεῖσθαι τοῦ κεῖ προηγεῖται πει διαγεγραμμένον

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΘΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

προσήκει θελήμασί τε καὶ διατάγμασι καὶ πρὸς πᾶν ὁπωσοῦν παρ' αὐτῶν θεαρέστως ἐπινοούμενον ἐμμελῶς πειθαρχεῖν διὰ τὴν ἑαυτῶν σωτηρίαν. Τούτου χάριν κἀγὼ ὁ ἐν μοναχοῖς εὐτελέστατος Νεῖλος μοναχὸς ὑπὸ τοῦ πνευματικοῦ μου πατρὸς καὶ καθηγουμένου τῆς σεβασμίας μονῆς τῆς ὑπεραγίας δεσποίνης ἡμῶν Θεοτόκου τοῦ Μαχαιρᾶ. ὑφ' οὗ καὶ τὴν κόμην τῆς κεφαλῆς ἀπεκάρην μετὰ καὶ τῶν κοσμικῶν θελημάτων, τὰς συνθήκας ποιησάμενος ἐν αὐτῇ καὶ τῇ ἐν Χριστῷ ἀδελφότητι συγκαταλεχθείς, προτραπεὶς προαχθῆναι εἰς τὸν τῆς ἱερωσύνης θεῖον βαθμὸν πρὸς ὑπηρεσίαν τῆς σεβασμίας μονῆς ἡμῶν τῆς ῥηθείσης. εἰ καίπερ ὅλως ἀνάξιον ἐμαυτὸν διαγινώσκων ἀπηξίουν τῆς τοιαύτης ἐγχειρήσεως, ὅμως ὑπέκυψα τῷ ἑαυτοῦ θελήματι πλὴν μεθ' ὑποσχέσεως τοιαύτης, τοῦ μὴ ἔχειν με ἐξουσίαν ὑπαναχωρήσεως πώποτε τῆς τοιαύτης σεβασμίας μονῆς τοῦ Μαχαιρᾶ παρὰ γνώμην τοῦ ἡμετέρου πατρὸς τοῦ καθηγουμένου. Εἰ δ' ἴσως τοῦτο ποιῆσαι προθυμήσομαι. ἔνοχος ἔσομαι τοῖς τοῦ δεσμοῦ ἐπιτιμίοις καὶ γεγυμνωμένος τῆς τοιαύτης χάριτος τῆς ἱερωσύνης μέχρις ὅτου πάλιν ὑποστρέψω πρὸς τὴν τοιαύτην σεβασμίαν μονὴν ἐν ᾗ καὶ τὰς συνθήκας μου τῷ θεῷ πεποίηκα·

Ὑπόσχομαι δὲ καὶ τοῦτο, τὸ διηνεκῶς εἶναί με πρὸς ὠφέλειαν καὶ βοήθειαν καὶ ὑπουργίαν τῆς τοιαύτης σεβασμίας μονῆς κατὰ τὸ ἐφι-
φ.169β κτόν μοι, καθὰ καὶ χρέος ἔχω ποιεῖν, || καὶ οὐδέποτε ἀχάριστος εὑρεθήσομαι ἐφ' αἷς ἠξιώθην ἐν αὐτῇ χάρισιν καὶ ἀντὶ τῆς προσηκούσης εὐλαβείας καὶ προσοχῆς ἣν ἐποφείλω στέργειν λόγους πονηρίας καὶ βλάβης ἀφορμὰς κατασκευάζων ἢ συνευδοκῶν καὶ συμπράττων τοῖς ταῦτα τολμῶσιν ἐποφθήσομαι. Εἰ γὰρ υἱὸς πατρὶ δίκαια λέγων θανάτῳ τελευτᾷ, πόσῳ γε μᾶλλον ἔνοχος καὶ κατάκριτος ἔσομαι κἀγὼ τοῖς ῥηθεῖσιν ἀθέσμως περιπίπτων. Διὰ γὰρ τοῦτο καὶ πλεῖον ἐμαυτὸν ἐπιστηρίζω διὰ τοῦ παρόντος ὁμολόγου μου ἐνυπογράφου ἐγγράφου, ἐξ ἐμῆς προτροπῆς καὶ θελήσεως γραφέντος τε καὶ μαρτυρηθέντος καὶ τῆς οἰκειοχείρου μου σημασίας ἄνωθέν τε καὶ κάτωθεν βεβαιωθέντος καὶ τῇ δηλωθείσῃ σεβασμίᾳ μονῇ ἐπιδοθέντος πρὸς ἔνδειξιν καὶ ἀσφάλειαν μηνὶ Ἀπριλλίῳ ἰνδικτιῶνος β΄ τοῦ ςψξζ΄ ἔτους.

Ὁ πριμμικήριος τῶν κατὰ Κύπρον ταβουλλαρίων Κ ω ν σ τ α ν τ ῖ ν ο ς

2. θεάρέστως 5. Τοῦ δεσποίνης προηγεῖται θεοτόκου διαγεγραμμένον
7-8. συνθῆκας ἀδὲλφότητι 8. προὰχθῆναι 11. ἑαυτοῦ 18. εἶναι 21. οἷς
21. χάρισιν. καὶ ἀντῆ χάρισιν καὶ ἀντὶ τῆς 23. ἣν ἀφορμῆς 25. τελευτὰ
λλ ντ
28-29. τὲ οἰκειοχείρω 32. ταβου κῶν

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

εὐτελὴς ἀναγνώστης ὁ καὶ τὸ ὕφος γράψας καὶ αὐτὸς μαρτυρῶν καὶ γράψας ὑπέγραψα.

*Πριμμικήριος Κωνσταντῖνος* (;)

## 30 (φ. 170α)

### *Τὸν σκλάβον θέλειν ἐλευθερωθῆναι καὶ περὶ φυλακῆς ἐξόδου καὶ περὶ ἐλεημοσύνης*

Τοῖς τῆς εὐσεβείας ἐρασταῖς ἅπασι καὶ τῆς ἁγίας καὶ ὁμοουσίου καὶ ζωοποιοῦ καὶ ἀδιαιρέτου Τριάδος λατρευταῖς ἀπό τε ἀρχιερέων, ἱερέων, μοναστῶν, ἱερομονάχων, ἀρχόντων, καβαλλαρίων, καστελλανίων, ὁμωτῶν καὶ ἑτέρου χριστωνύμου λαοῦ ἄρχουσί τε καὶ ἀρχομένοις χάρις θεοῦ καὶ εἰρήνη ἀπὸ θεοῦ πατρὸς εἴη ὡς ἀκουστὰς καὶ ποιητὰς τῶν ἐντολῶν αὐτοῦ ὄντας καὶ τῆς ἐλεημοσύνης καὶ τῆς ἀγάπης χορηγητάς, οὓς δι' ἐλεημοσύνην φημὶ καὶ ἀγάπην παρακαλῶ ὑφαπλῶσαι ἐπὶ τῷ πτωχῷ αἰχμαλώτῳ Οδ , τῷ ἐπιφερομένῳ τὸ παρὸν ἡμέτερον γράμμα. Οὗτος αἰχμάλωτος ληφθεὶς ὑπὸ τῶν ἀθέων Τούρκων σὺν τοῖς παισὶν αὐτοῦ δυσὶν ἀγούροις, ὃ καὶ παραχωρήσει θεοῦ γέγονεν ἐπὶ τοὺς ὁμοφύλους Χριστιανοὺς διὰ τὰς ἁμαρτίας ἡμῶν ἔπαθεν καὶ αὐτὸς σὺν τοῖς ἑτέροις καὶ ὄντος αὐτοῦ αἰχμάλωτος πολλὰ δεινὰ παθὼν εὗρεν καί τινα τῶν παίδων αὐτοῦ προστάξει θεοῦ ἐν τῇ περιωνύμῳ νήσῳ Κύπρῳ, συνεφώνησε δὲ καὶ ὑπὲρ τιμῆς αὐτοῦ καὶ τοῦ σώματος δοῦναι ἄξιον ὅσον ἡμᾶς νομίσματα τῆς Κύπρου τόσα, καὶ μὴ ἔχων ἀποδοῦναι ταῦτα ἀπέρριψεν ἑαυτὸν εἰς τοὺς οἰκτιρμοὺς τοῦ φιλανθρώπου θεοῦ καὶ εἰς τὰς χεῖρας ἡμῶν τῶν Χριστιανῶν. Δι' οὗ καγὼ Ὀλβιανὸς ἐλέῳ θεοῦ ἐπίσκοπος Ἀμαθούντων, πρόεδρος Νεμεσοῦ καὶ Κουραίωϐ ὁ καὶ ἑνὸς ἑκάστου φροντιστὴς φρουρὸς καὶ δεητὴς χάριν ψυχικῆς σωτηρίας ἡμῶν τῶν φιλοχρίστων Χριστιανῶν, παρακαλῶ ὑφαπλῶσαι εἰς αὐτὸν χεῖρα βοηθείας διὰ τὴν ἡμετέραν σωτηρίαν καὶ ποιή-

1. εὐτελῆς τοῦ ὕφους
3. ἐλευ -θεῖναι φίλακας 4. ἐξὄδου 5. τοὺς 6. ζωοποιοῦ 8. ὁμώτων
8. χριστονύμου ἄρχουσίν τὲ ἀρχομένων 11. χωριγητάς φη[μ] ἐκ τοῦ φημῖ
Τοῦ ο[δ] προηγεῖται ληφθεὶς διαγεγραμμένον 14-15. παρηχωρί[σ] ὁμοφίλους
16-17. ὄντως δυνᾶ παθῶν παῖδων 19. ὅσον ἵί ἀποδοῦναι 20. Τῶν λέξεων εἰς τοὺς οἰκτηρμοὺς προηγοῦνται διαγεγραμμέναι αἱ λέξεις εἰς τὸν οἰκτήρμονα
23. δ φροντιστῆς

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

σητε ἔλεος εἴτι κατὰ διάνοιαν ἔχετε εἰς τὸ ἐλευθερωθῆναι αὐτὸν τελείως τοῦ δεινοῦ ποτηρίου καὶ πικροῦ τῆς αἰχμαλωσίας, ὅπως ἂν δυνηθῇ καὶ μετὰ τῆς αὐτοῦ ἐλευθερίας ἐξωνήσασθαί τινα τῶν τέκνων αὐτοῦ, ἵνα καὶ ὁ θεὸς ἀνταμείψεται ὑμῖν ἑκαντονταπλάσια ἐν τῷ νῦν αἰῶνι καὶ ἐν ἐκείνῳ τῷ μέλλοντι. ὅτι ὁ ἐλεῶν πτωχόν, καθὰ δηλοῖ ἡ θεία Γραφή, δανείζει θεῷ καὶ ὁ βάλλας ἐν τῇ χειρὶ τοῦ πένητος εὑρίσκει ἐν τῇ παλάμῃ τοῦ δικαστοῦ. Διὰ γὰρ τοῦτο μεμνημένος τῆς τοῦ θεοῦ ἐντολῆς κἀγὼ ὁ προρρηθεὶς ἀρχιερεὺς γέγραφα πρὸς ὑμᾶς τὸ παρὸν παραινετικὸν ἔγγραφον τῆς ἐλεημοσύνης, ἵνα ὁ εἰσακούσας καὶ ἐλεήσας τοῦτον εὑρήσῃ τῆς ἐκ δεξιῶν ὑπὸ θεοῦ ἡμῶν παραστάσεως Εἰς περισσοτέρων πίστωσιν καὶ ἔνδειξιν ἐσφράγισα τοῦτο τῇ ἐμῇ σφραγῖδι καὶ ἐκύρωσα οὓς κυρώσοι Κύριος πάντας ἡμᾶς τοὺς Χριστιανοὺς τῆς εὐφροσύνης τοῦ παραδείσου, ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν. Ἀμήν.

## 31 (φ. 170β—171α)

Γινωσκέτωσαν πάντες οἱ τὴν παροῦσαν πληρεστάτην ἀπόφασιν ἀναλαβόντες καὶ ἀκούσαντες, ὡς ὅτι ἔμπροσθεν ἐμοῦ τοῦ νοταρίου καὶ μαρτύρων τῶν κάτωθι δηλωθησομένων ὁ πανιερώτατος καὶ θεοτίμητος ἐπίσκοπος Σόλων κὺρ Λεόντιος, πρόεδρος πόλεως καὶ ἐνορίας Λευκουσίας ἔδωκεν πληρεστάτην ἀπόφασιν περιέχων οὕτως : Γινωσκέτωσαν πάντες οἱ τὴν παροῦσαν πληρεστάτην ἀπόφασιν ἀναλαβόντες καὶ ἀκούσαντες, ὡς ὅτι ἡμεῖς Λεόντιος ἐλέῳ θεῷ ἐπίσκοπος Σόλων, πρόεδρος πόλεως καὶ ἐνορίας Λευκουσίας, γνωρίσαντες ἀπὸ τὴν ὑπόθεσιν τῆς ἐγκλήτου τῆς γεναμένης μέσον Θεοδώρας τῆς θυγατρὸς κυροῦ Κωνσταντίνου τοῦ Σεκρετικοῦ ἀπὸ τὸ ἓν μέρος καὶ κυροῦ Θωμᾶ τοῦ υἱοῦ κυροῦ Ζάκε Δαυὶδ ἀπὸ ἕτερον μέρος, οὗτινος κυροῦ Θωμᾶ τοῦ υἱοῦ τοῦ Συρζάκε Δαυὶδ λίβελλος ἐδόθη, περιέχων οὕτως ἔμπροσθεν ἡμῶν : Πανιερώτατε καὶ θεοτίμητε ἐπίσκοπε Σόλων κὺρ Λεόντιε, πρόεδρε πόλεως καὶ ἐνο-

1. τοι ἔχειτε 2. δυνοῦ πο^τρ^ 3. δυνηθὴ ἐξονὴνασθαι διορθωθὲν μετὰ διαγραφὴν τοῦ νασθαι εἰς σασθαι 4. τοῦ ἵνα προηγεῖται καὶ διαγεγραμμένον 4. ἀνταμοίψεται 5. δηλῆ θεῖα δανίζη 6. παίνητος 8. προῥηθείς

10. εὐρῆ΄ δεξιὼν περισσωτέρον 11. ἐμὴ σφραγίδι ἐκήρωσα κυρώ^σ^ 12. οἷς

15. ἀναλαβῶντες 16. κάτω^θ^ 16. πανϊ'ερώτατος 17. λευκωσίας 18. περιέχων οὕτως πανϊ'ερώτατε 22. Ἀντὶ τοῦ Κωνσταντίνου εἶχεν ἀρχίσει γράφων θεο

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠΙΚ. ΚΑΘΗΓΗΤΗΣ ΙΩΑΝΝΗΣ ΚΟΝΔΥΛΗΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ρίας Λευκουσίας, παρισταμένη καγὼ Θεοδώρα, θυγάτηρ κυροῦ Κωνσταντίνου τοῦ σεκρετικοῦ ἢ ἀντ' ἐμοῦ ὁ ἡμέτερος καὶ νόμιμος προκουράτωρ κὺρ παπᾶ Λέων τοῦ Πρέπη καὶ χαρτοφύλαξ ἐπισκοπῆς Λευκουσίας, προβάλλομαι καὶ λέγω κατὰ τοῦ κυροῦ Θωμᾶ τοῦ υἱοῦ τοῦ Συρζάκε Δαυίδ, ὡς ὅτι προλαβὼν ἔμαθον παρά τινων, ὅτι ἐμνηστεύσατό με ὁ προρρηθεὶς πατήρ μου κύριος Κωνσταντῖνος ὁ σεκρετικὸς μὲ τὸν κὺρ Θωμᾶν μνῆστρα καὶ τελείαν ἱερολογίαν μετὰ ἱερέως καὶ ὁρισμοῦ τῆς ἐκκλησίας ἀνήβου οὔσης ἐτῶν θ̅· ἔχει τὴν σήμερον χρόνους τρεῖς καὶ πλεῖον τοῦ γεγονότος ἀθέσμου γάμου εἰς ἐμὲ δι' ἔργου καὶ οὐχὶ δικαίου, τανῦν δὲ ἀνερχομένης μου τὸν ἔφηβον τῆς ἡλικίας, ἤτοι τὸν ιδ̅ καιρὸν πατῶντα εἰς ιγ̅ ἔτος, ἀνατρέπω τὰ μνῆστρα τὰ γεγονότα εἰς ἐμὲ δι' ἔργου καὶ οὐχ ὡς δικαίου. Ὅθεν αἰτῶ τὴν ὑμῶν ἁγιότητα κἀγὼ ἡ προρρηθεῖσα Θεοδώρα θυγάτηρ Κυροῦ Κωνσταντίνου τοῦ σεκρετικοῦ ἢ ἀντὶ ἐμοῦ ὁ ἡμέτερος νόμιμος προκουράτωρ κύριος παπᾶ Λέων καὶ χαρτοφύλαξ τῆς ἐπισκοπῆς Λευκουσίας ὁ Πρέπης, ὡς ἵνα σκέψαι σε ἐν τῇ ‖ παρούσῃ μου αἰτήσει καὶ δώσῃς πληρεστάτην ἀπόφασιν διὰ κα- φ.171α θολικῆς σου σκέψεως ἐκσφενδονήσῃς τὸν ἄνωθι κὺρ Θωμᾶν υἱὸν τοῦ Συρζέκε Δαυὶδ ὡς τὸ τότε ἀνήβου μου γεγονότα τὰ μνῆστρα καὶ τελείαν ἱερολογίαν ἐτῶν θ̅ ἔχει χρόνους γ̅ καὶ πλεῖον πατοῦντα εἰς τὸ ιγ̅ ἔτος. Τανῦν δὲ ἐφήβου μου ἀνατρέπω τὰ μνῆστρα ταῦτα καὶ τὴν τελείαν ἱερολογίαν τὰ γεγονότα εἰς ἐμὲ δι' ἔργου καὶ οὐχ ὡς δικαίου, καθὼς ἀπαιτεῖ τὸ δίκαιον. Ταῦτα λέγω σωζομένου τοῦ λιβέλλου μου καὶ τὰ ἑξῆς, καὶ τοῦ αὐξῆσαι καὶ ἐλαττῶσαι ἔχω. Προβάλλομαι δὲ καὶ τὰς ἐξόδους τὰς γενομένας καὶ τὰς μελλούσας γενέσθαι, δίκης κρατηθείσης νομίμου εἰς αὐτόν, ὅρκου γενομένου τοῦ εἰπεῖν τὴν ἀλήθειαν, ἐρωτήσεων καὶ ἀποκρίσεων, κεφαλαίων δοθέντων, μαρτύρων προσκομιθέντων, δι' ὅρκου στενευθέντων καὶ τὰ λαληθέντα παρ' αὐτῶν πιστῶς γραφέντα καὶ διὰ συγκαταθέσεως τῶν μερῶν ἀναγνωσθέντα καὶ κηρυχθέντα. Καὶ ἐδόθη ἡμέρα τοῦ προρρηθέντος κυροῦ Θωμᾶ τοῦ υἱοῦ τοῦ Ζάκε Δαυὶδ ἢ τοῦ προκουράτορος αὐτοῦ κυροῦ Ἰωάννου ἱερέως καὶ

3. πρέπει 5. προλαβῶν παρὰ τϊνῶν ἐμνηστεύσατο προῤηθεὶς 6. Κωνστάντίνος 7. μνήστρα ἱερολογίαν 8. οὔσης 9. δϊέργου 11. πατόν' δϊέργου 13. προῤηθεῖσα 14. παπὰ 15. πρέ 17. ἄνω 18 (καὶ 20) μνήστρα 21. δϊέργου Μεταξὺ τοῦ οὐ καὶ τοῦ χ' τοῦ οὐχ' ἓν γράμμα διαγεγραμμένον ἀπαιτῆ 22. σοζωμένου τῶν σο γεγραμμένων ἐκ διορθώσεως ἀδιαγνώστων νῦν γραμμάτων 23. ἐλλαττῶσαι 24-25. κρατηθησης ὅρκου 29. προῤηθέντος

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

δευτερεύοντος τῆς ἀρχιεπισκοπῆς τοῦ Ἀμπετὲλ Μεσήχ, εἰ βούλεταί τις εἰπεῖν κατὰ τῶν μαρτύρων. Καὶ αὐτὸς εἰς τὴν ἡμέραν τὴν τακτὴν ἐμφανίσθη καὶ εἶπεν ὅτι οὐκ ἔχω τι εἰπεῖν κατὰ τῶν μαρτύρων διότι ὑπάρχουν οἱ πάντες ἄνδρες ἔντιμοι καὶ ἀξιόλογοι. Καὶ ἀμφότεροι ἠσφαλίσαντο τὴν δίκην καὶ αἰτήθησαν τὴν ἀπόφασιν. Καὶ ἐδόθη αὐτοὺς ἡμέρα τοῦ πληρεστάτην ἀπόφασιν ἀκοῦσαι. Ἧς ἡμέρας κρεμαμένης ἐρευνήσαντες τὰς πράξεις αὐτῶν ἀκριβῶς, ἔχοντες δὲ καὶ βουλὴν μετὰ λογίμων ἀνδρῶν, ἀπεφήναμεν ἐγγράφως, καὶ διὰ πληρεστάτης ἀποφάσεως ὁρίζομεν οὕτως. Κατακρίνοντες τὸν ῥηθέντα κὺρ Θωμᾶν τοῦ Σορζάκε Δαυὶδ ὡς οὐ δύναται εἶναι νόμιμος ἀνὴρ τῆς ῥηθείσης Θεοδώρας θυγατρὸς κυροῦ Κωνσταντίνου τοῦ σεκρετικοῦ ὡς γεναμένης ἅπασιν δι' ἔργου καὶ οὐχ ὡς δικαίου, ὅθεν ἐλευθεροῦμεν αὐτὴν τῆς τοιαύτης συζεύξεως καὶ ὁρίζομεν αὐτὴν τοῦ συζευχθῆναι ἑτέρῳ ἀνδρὶ νομίμῳ ἔνθα καὶ βούλεται, ὡς ἐφήβου οὔσης τὴν σήμερον. Ἐγράφη, ἀνεγνώσθη, ἐκηρύχθη ἡ παροῦσα πληρεστάτη ἀπόφασις ἐν τῷ ναῷ τοῦ ἁγίου Βαρνάβα εἰς τὴν ἀρχιεπισκοπήν, παρόντων ἀνδρῶν καὶ μαρτύρων τοῦ θεοφιλεστάτου ἱερέως κυροῦ Λέοντος τοῦ ὁρκομωσίτου καὶ πρωτονοταρίου ἐπισκοπῆς Λευκουσίας καὶ ἐκπροσώπου τοῦ αὐθέντου ἡμῶν καὶ δεσπότου, τοῦ θεοφιλεστάτου ἱερέως κυροῦ Θεοδώρου τοῦ Ἁγιοαθανασίτου καὶ χαρτοφύλακος τῆς ἀρχιεπισκοπῆς Κύπρου, τοῦ θεοφιλεστάτου ἱερέως κυροῦ Λέοντος τοῦ Πρέπη καὶ χαρτοφύλακος ἐπισκοπῆς Λευκουσίας, τοῦ θεοφιλεστάτου ἱερέως κυροῦ Παύλου καὶ πρωτοϊερέως τῆς ἀρχιεπισκοπῆς, τοῦ θεοσεβεστάτου ἱερέως κυροῦ Ἰωάννου Ἀμπελμεσὴχ καὶ δευτερεύοντος, τοῦ θεοσεβεστάτου κυροῦ Λέοντος τῆς Σκούφενας, τοῦ θεοσεβεστάτου πρωτοϊερέως κυροῦ Γεωργίου τοῦ Γρανίτου, τοῦ θεοσεβεστάτου ἱερέως κυροῦ Ἰωάννου τοῦ Καλωθᾶ, τοῦ κυροῦ Ἰωάννου τοῦ Πε(ρ), καὶ ἑτέρων οὐκ ὀλίγων, καὶ ἐπεδόθη τῇ προρρηθείσῃ Θεοδώρᾳ τῇ θυγατρὶ κυροῦ Κωνσταντίνου τοῦ σεκρετικοῦ τοῦ ἔχειν αὐτὸ εἰς ἔνδειξιν καὶ ἀσφάλειαν Ἀ(ερ) β̄ τρίτῃ τῆς ωιδ' ἐγχρονίας ἰνδικτιῶνος δ'.

1. Ἀμπετελμεσὴχ βούλει τῖς 2. ταχθὴν τῖ εἰπὴν 4. δι' ὅτι τὸ ἔντιμοι πρόσθετον ἐν τῇ ὤᾳ ἐν συνεχείᾳ τοῦ κειμένου 5. αἰτήθεισαν 6. κρεμμαμένης 9. ὀρίζωμεν 12. διέργου 13. τοιούτης ὁρίζωμεν 14. ἐνφήβου οὔσης 17. ὁρκομωσί(τ) 23-30. τοῦ θεοσεβεστάτου—ἰνδικτιῶνος δ' γεγραμμένα πλαγίως ἐν τῇ ὤᾳ 25. σκουφένας βραχυγραφικῶς, σαφέστερον γεγραμμένον ἐν τῷ ἐγγράφῳ του φ. 175β 26. γραν 26. Καλωθά 28. προρηθήση

### 332 (φ. 171β—172α)

Τὸ ιη΄ ἔτος ἐπερίλαβεν ὁ ρρὲ Οὔγγος ὁ πρώην τὴν χώραν, κατὰ δὲ τὴν ιθ Φεβρουαρίου τῆς κϛ ἐγχρονίας τῶν χρεῶν ἐλειτούργησε.

Κατὰ δὲ ιη τοῦ Ὀκτωβρίου τῆς ξδ ἐγχρονίας τῶν χρεῶν ἐλειτούργησεν ὁ ρρέ Ἐρρὴν ὁ παχὺς ὁ καὶ υἱὸς τοῦ ἄνωθεν ρηθέντος ρρὲ Οὔγγου.

† ἡμεῖς οἱ κληρικοὶ (δ α γ ε γ ρ α μ μ έ ν α) μηνὶ Ἰανουαρίῳ κβ ἐκαταλάβαμεν ἐν τῇ πόλει Νεμεσῷ ἡμεῖς οἱ κληρικοὶ τῆς ἁγιωτάτης ἐπισκοπῆς Ἀμαθουσίας ὅτε ὁ μέγας οἰκονόμος καὶ οἱ λοιποί, καὶ ἐμφανίσαμεν τὸν θάνατον τοῦ ἐπισκόπου ἡμῶν κυροῦ Ματθαίου ἐνώπιον τοῦ πανιερωτάτου ἐπισκόπου Νεμεσοῦ κυροῦ Μπαρτὰλ (;) κατὰ τὴν ἡμετέραν συνήθειαν καὶ κατὰ τὴν περίληψιν τοῦ ὀρδινιασμοῦ τοῦ ἁγιωτάτου πάπα Ἀλεξανδρείας, καὶ ὁ αὐθέντης ἡμῶν ἐπίσκοπος Νεμεσοῦ ὁ προρηθεὶς κὺρ Μπαρτὰλ (;) δι᾽ὁρίσατο ἡμᾶς ὡς ἵνα ποιήσωμεν ἐκλογὴν καὶ ψῆφον ἐπισκόπου εἰς σῶμα τετιμημένον καὶ ἄξιον μετὰ παρακλήσεως τῆς χάριτος τοῦ ἁγίου πνεύματος:

ἡμεῖς δέ οι πρόρηθέντες κληρικοὶ τῆς ἐπισκοπῆς Ἀμαθουσίας μετὰ πολυημέρου βουλῆς, καὶ σκέψεως μετὰ ἀξιοπίστων καὶ λογίμων ἀνδρῶν τῆς ἡμετέρας ἐνωρίας ἡγουμένων τὲ καὶ λαϊκῶν καὶ μετὰ παρακλήσεως τῆς χάριτος τοῦ ἁγίου πνεύματος μετὰ ψαλμωδίας καὶ δεήσεως ὁλονύκτου· ὧδε κἀκεῖσε περιβλέψαντες καὶ διανοηθέντες καὶ διανοηθέντες, ἐρευνήσαντες ἀκριβῶς, εὕρωμεν ἄνδρα ἀρέσκοντα τοῖς πᾶσι σὺν θεῷ τὸν ὁσιότατον καθ᾽ἡγούμενον τῆς σεβασμίας μονῆς τοῦ Ἀσωμάτου Λευκάρων κὺρ ἱερομόναχον Ὀλβιανόν· γένους καὶ κλήσεως ὀνομαστοῦ· ἄνδρα ἐκ νεαρᾶς ἡλικίας, τῆς μοναχικῆς τάξεως ἀναθρεμμένον· εὐλαβῆν· σώφρονα· εὔτακτον· διηκοῦντα τὴν ἰδίαν μονὴν εὐπρεπέστατα· γρήγορον· τῶν γραμμάτων ἔμπειρον· πρᾶον· δυνάμενον θεραπεῦσαι καὶ διηκῆσαι τὰ τῆς ἐπισκοπῆς †

Τὸ σημείωμα τῶν στ. 6 καὶ ἑξῆς ἄλλῃ πυκνοτέρᾳ χειρὶ γεγραμμένον, ὡς φαίνεται, ἀργότερον τῶν ἐν τῇ σελίδι ταύτῃ καὶ τῇ ἑπομένῃ ἐν ἀγράφῳ μείναντι χώρῳ.

Τοῦτον ζητοῦμεν, τοῦτον θέλωμεν, τοῦτον ποθοῦμεν, τοῦτον ἀποδεχόμεθα· τοῦτον κοινοὶ πάντες δοκιμάσαντες, ἐκλέξαντες καὶ σὺν θεῷ, καὶ τῆς τοῦ ἁγίου πνεύματος χάριτος, ἐψηφίσαμεν ἀδωροδόκητα, ἀπροσωπόληπτα, καὶ ἀπαράκλητα· καὶ εἷς ἕκαστος ἐξ ἡμῶν τῇ οἰκειοχείρῳ μαρτυρίᾳ, ὑπέγραψεν.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

† Μηνὶ Ἰουνίῳ κδ τῆς ρηθείσης ͵ηγ ἐγχρονίας ἐστέφθη ρὴξ τῆς Κύπρου ὁ πανευγενέστατος αὐτάδελφος αὐτοῦ μεσὺρ Ἐρρὶ †

† Μηνὶ Ἰανουαρίῳ τῆς ͵ηδ ἐγχρονίας τέλος τοῦ βίου ἐχρήσατο ἡ κυρὰ τοῦ Βερούτη ἡ θυγάτηρ τοῦ μεσυρ Ζωὰν τὴ Μπὴλ τοῦ αὐθέντου τοῦ Βερούτη. ἡ σύμβιος (σν) τοῦ συρ γκι μπαρλὰς †

Μηνὶ Σεπτεμβρίῳ δεκάτῃ τῆς ͵ηζ ἐγχρονίας ἡμέρᾳ ϛ ἐγεννήθη ἡ θυγάτηρ της (;) Ζωὴ (διαγεγραμμένον μετὰ τῶν ἑπομένων γραμμάτων εἶζ καί τινων ὀλίγων εἶτα διεξεσμένων, ἐν δὲ τῇ ᾤᾳ καθαρῶς γεγραμμένον ζωή.

† Μηνὶ Ἀπριλλίῳ κϛ τῆς ͵ηζ ἐγχρονίας ἐπιάσθη ὑπὸ τῶν Ἀγαρινῶν ἡ μεγαλόπολις Τρίπολις †

† Μηνὶ Μαΐῳ ιη τῆς ͵ηθ ἐγχρονίας ἐπιάσθη ὑπὸ τῶν Ἀγαρινῶν ἡ μεγαλόπολις Πτωλεμαΐς †

† Μηνὶ Φεβρουαρίῳ ιγ ἡμέρᾳ Τρίτῃ τῆς ωι ἐγχρονίας τέλος τοῦ βίου ἐχρήσατο ὁ εὐλαβὴς συρ μπετρὰν (εἶτα διαγεγραμμέναι αἱ λέξεις ***ὁ υἱὸς*** καί τινα ἄλλα γράμματα ἀδιάγνωστα) ἐν τῇ χώρᾳ Πάμφῳ· καὶ ἐτάφη εἰς τὴν ἐκκλησίαν τῆς ὑπεραγίας Θεοτόκου τῶν Σύρων εἰς τάφον τοῦ πατρὸς αὐτοῦ †

† Μηνὶ Αὐγούστῳ η τῆς ωια ἐγχρονίας ἡμέρᾳ ε΄ ὥρᾳ τῆς ἡμέρας γέγονε σεισμὸς μέγας ἐν τῇ πόλει Λευκουσίᾳ.

† Μηνὶ Μαΐῳ ϛ ἡμέρᾳ δ τὸ λυχνικὸν τῆς Ἀναλήψεως ἐγχρονίας ωιδ τέλος τοῦ βίου ἐχρήσατο ἡ σύμβιος (ὁλόγραφον) κυρὰ (εἶρ διαγεγραμμένον) Θεοδώρα ἡ θυγάτηρ κὺρ (εἶτα λέξις διαγεγραμμένη) Μαροὺρ (;), ἣν ὁ Κύριος ἀναπαύσει αὐτὴν καὶ ἔσεται μετὰ τὸν χορὸν τῶν δικαίων †

†Τῇ κδ Ἀπριλλίου τῆς ωκϛ ἐγχρονίας τέλος τοῦ βίου ἐχρήσατο Γεώργιος ὁ αὐτάδελφός μου, ὃν Κύριος ἀναπαύσει †

† Τῇ ιη Ἰανουαρίου ἡμέρᾳ ϛ τῆς ωκη ἐγχρονίας τέλος τοῦ βίου ἐχρήσατο ὁ ἐξάδελφός μου κὺρ Ἰωάννης τοῦ (γράμματά τινα διαγεγραμμένα) ὃν ἀναπαύσει κύριος.

**Τὰ δύο τελευταῖα σημειώματα ἐν τῇ ᾤᾳ πλαγίως.**

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΘΕΡΙΑΝΟΣ

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

## 353 (φ. 172 β)

### *Ἡ τεκνογονεία τῶν παίδων κυροῦ Ἰωάννου τοῦ ἡμετέρου θείου καθὼς ἀναγράφουνται διὰ οἰκει[ο]χείρων αὐτῶν γραμμάτων εἰς τὸ βιβλίον τοῦ Κελοόριτου ἐκείνου*

ἤγουν

Ὀκτωβρίου ιζ ἡμέρα β ἰνδικτιῶνος ια τοῦ ,ςϡμγ ἔτους ἐγεννήθη ἡ Ἄννα.

Ἀπριλλίου α ἡμέρα α ἰνδικτιῶνος ιγ τοῦ ,ςϡη ἔτους ἐγεννήθη ἡ Θεοδώρα.

Σεπτεμβρίου ιγ ἡμέρα ζ ἰνδικτιῶνος α τῆς να ἐγχρονίας ἐγεννήθη ὁ Νικόλαος

Ἰανουαρίου γ ἡμέρα δευτέρα ἰνδικτιῶνος ε τῆς νε ἐγχρονίας ἐγεννήθη ἡ Μαρία,

Ἰουνίῳ ἰνδικτιῶνος ζ τῆς νζ ἐγχρονίας ἐγενέθη ἡ Καλὴ

Ὀκτωβρίου β ἡμέρα Δευτέρα ἰνδικτιῶνος ι τῆς ξ ἐγχρονίας ἐγεννήθη ὁ Ἰωάννης.

## 354 (φ. 172 β)

† Μηνὶ Ἀπριλλίῳ κς ἡμέρα Τρίτη τῆς ωιβ ἐγχρονίας ἥρπαξεν ὁ ὁ εὐγενέστατος μεσὺρ Ἀμαρρὴν ὁ υἱὸς τοῦ ρε Οὔγγου τὴν ἐξουσίαν του ρηγάτου τοῦ πανυψηλοτάτου ῥηγὸς τοῦ ρρὲ Ἐρρὶ καὶ αὐταδέλφου αὐτοῦ καὶ γέγονε γκουβερνούρης καὶ διηκτητὴς τοῦ ῥηγάτου τῆς Κύπρου καὶ ἔλαβεν καὶ τοὺς ὅρκους τῶν ἀνθρώπων τοῦ ῥηγάτου καβαλλαρίων καὶ ἱερομένων λιζίων ἀνθρώπων καὶ τοῦ κοινοῦ λαοῦ· ἵνα φυλάττουν τὸ σῶμα αὐτοῦ· καὶ διατηρεῖν αὐτὸν κατὰ παντὸς ἀνθρώπου σωζωμένου τοῦ ῥηγὸς †

† Μηνὶ Μαΐῳ ιζ ἡμέρα Ε τῆς ωκζ ἐγχρονίας τέλος τοῦ βίου ἐχρήσατο ἡ νύμφη μου [ἕπονται λέξεις διαγεγραμμέναι, ὧν διακρίνονται μόνον τοῦ Κων[σταν]τ ῆν κύριος ἀναπαύση)

† Μηνὶ Δεκεμβρίῳ κε τὰ Χριστουγέννα τῆς ωπ ἐγχρονίας ἰνδικτιῶνος ια ἐστέφθη ὁ πανευγέστατος μεσυρ Οὔγγος τε λιζινιὰ καὶ υἱὸς τοῦ μεσυρ Ερρὶ του πρίνζη ῥηξ Κύπρου παρὰ τοῦ πατριάρχου Ἱεροσολύμων κὺρ κιλι<sup></sup>μ λεγάτου ὄντος τοῦ ἀποστολικοῦ θρόνου καὶ εἰς Κύπρον εὑρεθέντος.

† Κατὰ δὲ τὸν Σεπτέμβριον μῆνα εἰς τὴν κδ τῆς οη ἐγχρονίας



ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ἐστέφθη ὁ ἄνωθεν ῥηθεὶς ρὴξ τῆς Κύπρου ρὴξ τῶν Ἱεροσολύμων ἐν τῇ χώρᾳ τῇ Τύρῳ.

† Κατὰ δὲ τὸν Μάρτιον μῆναν τῆς ῑη ἐγχρονίας τέλος τοῦ βίου ἐχρήσατο ὁ ἄνωθεν ῥηθεὶς ῥὴξ τῶν Ἱεροσολύμων καὶ τῆς Κύπρου ἐν τῇ χώρᾳ τῇ Τύρῳ· τῶ δὲ σῶμα αὐτοῦ ἐκήδευσαν τοῦτο ἐν τῃ Κύπρῳ εἰς τὴν Ἁγίαν Σοφίαν Λευκωσίας.

† Μηνὶ Μαΐῳ ῑδ τῆς ῑηδ ἐγχρονίας· ἐστέφθη ῥὴξ τῆς Κύπρου ὁ πανευγενέστατος μεσὴρ Ζωὰν ὁ υἱὸς τοῦ ἄνωθεν ρηθέντος ρρὲ Οὔγγου τῶν Ἱεροσύμων καὶ τῆς Κύπρου ρὴξ ἐν (ἕπονται δύο τρεῖς λέξεις ἀδιάγνωστοι, ὥστε κεκομμέναι μετὰ τοῦ δεξιοῦ ἄκρου τῆς κάτω ᾤας).

## 85 (φ. 173α)

Θεσπίσματος παλαιοῦ ἐκτεθέντος παρὰ τοῦ κορυφαίου τῶν Ἀποστόλων Πέτρου, γραφῇ δὲ τοπωθέντος παρὰ τῶν ἐν Νικαίᾳ θείων Πατέρων, ὡς ἄνευ συστατικῶν γραμμάτων τοῦ χειροτονήσαντος ἐπισκόπου μὴ ἀπαίρειν τινὰς τῶν τὴν ἱερωσύνην ἐπειλημμένων εἰς ἑτέραν πόλιν ὅπως μὴ κρίνωνται παρὰ τοῖς κοσμικοῖς καὶ πρόσκομμα γένηται τὰ ἱερὰ τοῖς ἀνιέροις, τούτοις τοῖς ἱεροῖς κανόσι καὶ θεσπίσμασι κινηθεὶς καὶ ἐγὼ ὁ ἐλάχιστος μητροπολίτης ὑπέρτιμος Χαλκηδόνος Συμεὼν τὸν εὐλαβέστατον Σεραπίωνα μαρτυρηθέντα παρὰ τοῦ ἁγιωτάτου πατριάρχου Ἀλεξανδρείας κυροῦ Ἀθανασίου καὶ παρὰ τῶν εὐλαβεστάτων ἱερέων καὶ λαϊκῶν ἀξιολόγων τοῦ εἶναι αὐτὸν ἄμωμον ἐν πάσι σεμνῆς τε πολιτείας καὶ ὀρθῆς πίστεως, τοῦτον χειροτονήσαντες πρεσβύτερον δεδώκαμεν αὐτῷ τὸ παρὸν ἀπολυτικὸν ὡς ἐκσφράγισμα τοῖς ἐντυγχάνουσι τοῦ δέχεσθαι αὐτὸν ἀσμένως καὶ μὴ ὑπολήψεσί τισι καθυποβάλλεσθαι ὡς ἑτερόδοξον εἴτε τὸν βαθμὸν ὑποκλέψαντα. Ἐγράφη δὲ καὶ ἐσφραγίσθη μηνὶ Μαρτίῳ λα΄ ἰνδικτιῶνος α΄ τοῦ ͵ςωια΄ ἔτους.

† Ὁ μητροπολίτης Χαλκηδόνος καὶ ὑπέρτιμος Συμεὼν

## 86 (φ. 173α-β)

Εἰ ὁ Ἀδὰμ ἐκεῖνος ὁ πρωτόπλαστος καὶ προπάτωρ ἐξεβλήθη μὲν τοῦ ἐν Ἐδὲμ παραδείσου διὰ μικρᾶς τοῦ ξύλου γεύσεως πάσας τὰς ἡμέρας αὐτοῦ ἔκλαιε θρηνωδῶν, οὐ πολλῷ μᾶλλον ἔδει θρηνεῖν καὶ

2. γραφὴ 4. ἱερωσύνην 6. ἀνίεροις 6. κανονηθεὶς 13. ὑπολήψεσι τισὶ 16. ἐκεῖνος 17. ἐνεδὲμ μικρὰς πᾶσας 18. θρηνοδῶν

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

λυπεῖσθαι τὸν ἐάσαντα τὸν νέον παράδεισον, τὴν βασιλίδα τῶν πόλεων, τὸν δεύτερον οὐρανόν, τὸ ἐγκαλλώπισμα τῆς οἰκουμένης, τὸ καύχημα τῆς ὀρθοδοξίας, τῆς ἐκκλησίας τὸ στήριγμα, τῆς ἱερωσύνης ἡ εὐπρέπεια. Καὶ τίς ἐστιν ὅς φράσαι δυνήσεται τὰ κάλλιστα τοῦ τοιούτου ἐπιγείου οὐρανοῦ τε φημὶ καὶ παραδείσου; Τοῦτον ἐμὲ || ἔδει θρηνεῖν φ.173β τὸν τῇ οἰκείᾳ γνώμῃ καὶ ἀθέσμῳ συμβουλῇ καταλείψαντα καὶ δραμόντα κατοικεῖν ἐν τῇ Κύπρῳ, ὅπου οὐ μόνον λιμὸς σίτου καὶ ἄλλων ἀγαθῶν, ἀλλὰ καὶ πάσης ἄλλης ἀγαθοεργίας καὶ κωφευούσης τοῦ μὴ ἀκοῦσαι λόγον θεοῦ καὶ οὐ τοῦ πάλιν μόνον, ἀλλὰ καὶ σὲ τὴν ἡγιασμένην λέγω ψυχὴν ὑστερεῖσθαι καὶ τοὺς σοὺς κλάδους οὓς φιλαρέτως ἀνέθρεψας καὶ θεαρέστως ἐτίμησας καὶ πῶς οὐκ ἔδει μέ σε ζητεῖν ὥσπερ ὁ ἡμέτερος γνήσιος πατὴρ κατὰ τὸν πάλαι πατριάρχην Ἰακὼβ παῖδας ἄρρενας καὶ θήλεις ἔχειν, καὶ ἐκ πάντων ἕως καὶ νῦν οὐχ ὑπέμεινεν εἰ μὴ ἡ σὴ ὁσιότης καὶ ἡ ἐμὴ οἰκτρότης· καὶ ἵνα λυπήσω πλεῖον, ἀρκεῖ ἕως τούτου τό γε νῦν, ὢ κυρία μου, εἴτε σωματικὴ καὶ πνευματικὴ ἀδελφή, σωματικῶς μὲν εὔχομαι ἵνα ὑγιαίνῃς· ψυχικῶς γὰρ μαρτυρεῖ καὶ ἡ πρᾶξις καὶ ἡ ἀκοή, ὅτι πάντοτε ὑγιαίνεις καὶ τῷ θεῷ εὐσεβῶς λατρεύεις καὶ δουλεύεις αἰσίως. Χαίρου καὶ εὐφραίνου κατὰ τὸν θεῖον Ἀπόστολον. Πάντοτε γάρ φησι χαίρετε ἀδιαλείπτως, προσεύχεσθε, ἐν παντὶ εὐχαριστεῖτε. Μὴ κατά τινα αἰτίαν ὀκνήσῃς τῆς προσευχῆς ἥσπερ παιδιόθεν ἔλαχες καὶ ἐδιδάχθης. Πάντα τὰ λυπηρὰ ἀποτάσσου καὶ τῷ θεῷ τὴν ἐλπίδα σου ἀνάθου. Ἔλπισον γάρ φησιν ὁ ψαλμός, καὶ αὐτὸς ποιήσει καὶ ἐξοίσει ὡς φῶς, τὴν δικαιοσύνην σου καὶ τὸ κρίμα σου ὡς μεσημβρίαν. Ἠβουλήθην γράψαι σοι τὰ κατ' ἐμὲ ἅπερ μοι συνέβησαν ἀφ' ὧν ἐξέβην ἀπὸ τὴν ἀντίληψίν σου, καὶ οὐκ ἠδυνήθην· πολλὰ γὰρ ἠπόρησα, καὶ οἱ ὀφθαλμοί μου οὐκ ἔχουσι τὸ φῶς ὡς τὸ πρώην, καὶ ἐκ τῆς αὐτῆς γραφῆς μᾶλλον ἐξ αὐτῆς τῆς γραφῆς πιστεύσεις, ὅτι τῆς ἐμῆς χειρὸς γράμματα οὐκ εἰσί. Τοὺς ἐπαινετοὺς καὶ ἐντίμους τοὺς ἠγαπημένους ἀδελφιδοὺς καὶ τὰ τέκνα ἀκορέστως κατασπάζομαι ὡς θ έ μ ι ς ἐξαιρέτως τὸν γενναῖον στρατιώτην, τὸν κῦρ Γιώργιον, καὶ ἀναμιμνήσκω αὐτὸν περὶ τῆς εἰκόνος τῆς ὑπεραγίας Θεοτόκου τῆς ἐν τῇ ἡμετέρᾳ

3. ἱεροσύνης 4. φρᾶσαι ·Τὸ δυνήσεται ἐγράφη πιθανῶς ὑπ' αὐτοῦ τοῦ ἐπιστολογράφου 4—5. τοιοῦτου ἐπιγείου φημὶ τούτων 6. δραμῶντα 9. πάλην 10. σοῦς 10. οὖς 11. ἔδειμαι 13. οὐχ' 15. εἶτε σωματικῆ πνευματικῆ 16. ὑγειαινης πράξϊς 17. ὑγειαίνης 20. αἰτί^α^ ὀκνίσης 22. ἔλπησον 23. ἐξῄσει 24. ἠβουλήθην 24. ἀφῶν 25. ἠπώρισα 26. ἔχωσιν 28. ἠγαπημένους 29. ἀδελφιδοῦς 29. θέ,ιης (;) 30. ἐξερέτως

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΚΥΠΡΙΑΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠΙΚ. ΚΑΘΗΓΗΤΗΣ ΙΩΑΝΝΗΣ ΘΕΟΔΩΡΑΚΟΠΟΥΛΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

μονῇ. Οἱ ἡμέτεροι πάντες φιλαδέλφως κατασπάζονται ὑμᾶς. Ἡ νῦν μοναχὴ Μάρθα πολλὰ εὐχαριστήρια ἐξηγήσατο ἡμῖν ἀφ' ὑμῶν. Ὦ κυρία μου ἡγιασμένη αὐταδέλφη μοναχὴ Θεοδοσία καὶ καθηγουμένη τῆς ἡμετέρας μονῆς, μὴ ἀμελῇς γράφειν ἡμῖν τὰ κατὰ σέ· ποθοῦμεν γὰρ ἔχειν συχνῶς. Αἱ μοναχαὶ πάσης τῆς αὐτῆς μονῆς τὴν ἐδαφιαίαν μετάνοιαν ἀπονέμουν τῆς μεγάλης ἁγιωσύνης σου.

## ΧΥ (φ. 174 α)

## *Γράμμα νομικοῦ*

Πολυμερῶς καὶ πολυτρόπως οἱ πάλαι θεῖοι καὶ εὐσεβεῖς βασιλεῖς φιλοπονήσαντες μετὰ καὶ ἑτέρων σοφῶν ἀνδρῶν ὅρους καὶ νόμους ἐξέθεντο εἰς σύνεσιν κατάστασίν τε καὶ διόρθωσιν τοῦ ἀνθρωπίνου γένους. ὥστε μὴ ὑπερβαίνειν ἕτερον ἑτέρου διά τε διατάξεων καὶ νομίνων θεσπισμάτων εἰς θεὸν καὶ ἀνθρώπων ἀρέσκειαν, καὶ οὐ μόνον ἐθέσπισαν διά τε σύστασιν καὶ κατάστασιν καὶ ἑτέρων πολλῶν ἐννοιῶν ἄλλα τε καὶ βαθμῶν ἀξιωμάτων καὶ γραμματοσυμβολαίων τε καὶ ταβουλλαρίων. Ἔνθεν τοι καὶ ἡ μετριότης ἡμῶν ἐπισκεψάμενοι καὶ χρῆσιν ἔχοντες ταβουλλαρίου καὶ συμβολαιογράφου, ἐξετάσαντες καὶ ἐρευνήσαντες εὕρομεν σὲ τόνδε ἔμπειρον ὄντα καὶ μεμαθητευμένον τῶν θείων νόμων τὴν ἀσφάλειαν δυνάμενον κατορθοῦν τὸ ἀσθενὲς τῶν μὴ εἰδότων τὸν νόμον καὶ γράφειν τὸ ἀληθὲς ἀδώρως καὶ ἀδωροδοκήτως ἔχων τε τὸ ἀνεπίληπτον καὶ χρήσιμον. Τοίνυν καὶ ἐπιτρέπομέν σε τοῦ εἶναί σε ταβουλλάριον καὶ γραφέαν τῶν συμβολαίων τῆς κατ' ἐνορίαν τοῦ χωρίου Λ α κ ά ρ ω ν καὶ συναριθμεῖσθαι μετὰ καὶ τοῖς λοιποῖς ταβουλλαρίοις ἀπὸ γε τοῦ παρόντος καὶ ἀκωλύτως καὶ εἰς τοὺς ἑξῆς τὴν τοιαύτην μεταχείρισιν μετέρχεσθαι συντετηρημένα ποιεῖν μέλλεις κατὰ νομικὴν παρατήρησιν καὶ ἀκρίβειαν καὶ μὴ κατὰ χάριν ἢ δυναστείαν ἢ προσπάθειαν γράφειν ἐν γωνίᾳ παραβύστῳ ἀλλ' ἀναφανδὸν καὶ ἐκκλησίᾳ καθολικῇ καὶ κατὰ τὸ μέσον πολιτείας καθήμενον καὶ τῇ εἰδήσει καὶ προτροπῇ τοῦ

4. σοῦ συγχνῶς 5. ἐδαφιέαν

2. Τοῦ φιλοπονήσαντες προηγεῖται βασιλεῖς τὸ δεύτερον γραφὲν καὶ διαγεγραμμένον. ὕρους 4. ὥστε ὑπερβαίνειν 5. ἐθέσπησαν 6. ἐννιῶν 7. γραμμiατοσυμβολέων τὲ 8. ἔνθεν 9. συμβολεογράφου 10. εὕρωμεν 11. ἰδότων 12. ἀδόρως ἀδοροκήτως 13. τὲ ἐπιτρέπομέν 14. συμβολέων ἐνωρίαν 16. ἐξῆς μετεχείρησιν 18. καταχάριν 19. γονεία παραβίστω ἀναφανδῶν

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

πριμμικηρίου σου, πλαστὸν δὲ τὸ παράπαν ἢ ψευδομάρτυρον μὴ ἐκτίθεσθαι, κἂν τίς σε διὰ χρυσίου πολλοῦ πρὸς τοῦτο καθέλξῃ, εἰ μή, πως καὶ τῆς τοιαύτης ἐνεργείας καὶ μεταχειρίσεως ἀλλοτριωθῆναι καὶ τῆς προσούσης σοι περιουσίας ἐκπεσὼν καὶ σωματικῶς ὑποστῆναι τὴν τιμωρίαν. Διὰ γὰρ τοῦτο καὶ τὸ παρὸν ἐνταλτήριον ἔγγραφον γραφὲν καὶ παρ᾽ ἐμοὶ ὑπογραφὲν καὶ διὰ κηρίου βουλλωθὲν ἐπεδόθη σοι τῷ εὐλαβεστάτῳ κὺρ ὁδεῖνα τοῦ ἔχειν σοι αὐτὸ εἰς ἔνδειξιν καὶ ἀσφάλειαν.

## 28 (φ. 175 β)

Ἡ ἀνθρωπίνη ἀσθένεια πολλῶν ἐλαττωμάτων ἔμπλεως οὖσα μᾶλλον δὲ καὶ σφαλμάτων πολλῶν δεῖται καὶ τῶν κατορθωμάτων. Τῷ τε κἀγὼ Θεόδωρος τῆς Σκούφενας καὶ σακελλάριος τῆς ἁγιωτάτης ἐπισκοπῆς Ἀμαθουσίας πολλάκις πταίσας πρὸς τὸν ἐμὸν ἀρχιερέα τὸν θεοτίμητον ἐπίσκοπον Ἀμαθουσίας, πρόεδρον Νεμεσοῦ καὶ Κουρίων, κὺρ Ὀλβιανὸν καὶ ὑπ᾽ αὐτοῦ δεξάμενος κολακείας καὶ ἐπαπειλίας οὐδέπω συνεῖξα καὶ πολλὰ τοῦτον ἐξουθενώσας τανῦν εἰς γνῶσιν εἰσῆλθον, καὶ δὴ παρακλητεύσας ἀξιοπίστους ἄνδρας, ὥστε ποιῆσαι παράκλησιν πρὸς αὐτόν, ἵνα λάβω ἐξ αὐτοῦ συγγνώμην καὶ ἄφεσιν τῶν σφαλμάτων ὧν ἐπρόσκρουσα πρὸς αὐτόν, οἳ καὶ ποιήσαντες πρὸς τὸν ῥηθέντα δεσπότην μου τὴν τοιαύτην παράκλησιν, ἔτυχον τῆς αἰτήσεως. Ἐγὼ δὲ ὑπόσχομαι ἀπὸ τοῦ νῦν καὶ εἰς τὸ ἑξῆς ὅτι οὐ μὴ εὑρεθῶ κατὰ τῆς ἑαυτοῦ τιμῆς ἤ τινα ἐναντίαν βουλὴν προσθήσω κατ᾽ αὐτοῦ. Εἰ δέ γε εὑρεθῶ ὀψέποτε ἐναντίος τοῦ τε θελήματος τοῦ ἡμετέρου δεσπότου Ἀμαθούντων καὶ τῆς ἑαυτοῦ τιμῆς, ὡς ὀφείλω, ὀφείλω ἐκπίπτειν πάσης τιμῆς καὶ ἀξίας ἐκκλησιαστικῆς. Διὰ γὰρ τοῦτο καὶ τὸ παρὸν οἰκειόχειρον ἔγγραφον πεποίηκα ἐνώπιον τῶν προσκληθέντων ἀξιοπίστων μαρτύρων ὑπογραφάντων.

Μηνὶ Φεβρουαρίου τῆς ωιε´ ἐγχρονίας.

(Ἕπεται τὸ τέλος)

---

1. προιμμηκυρίου 3. μετέχειρήσεος 4. ἐκπεσῶν 6. ἐπεδώθη 7. ὃν ὁ

1. ἐλλαττομάτων Τοῦ ἔμπλεως προηγεῖται οὖσα διαγεγραμμένον 2. δεῖτε τό 6. ἐπαπηλίας 7. γνώσιν δεῖ 8. ποιῆσαι 13. ἐξῆς 13. ἢ τινὰ 14. ὀψὲποτε 15. ἑαυτοῦ πάσης εκπίπτειν

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006